H 226 *δὴ ταλικοῦτον μέγεθος, ἁλίκον ἐστὶ τὸ πάχος τῶν κυλινδρίων*

τεθέντος κατακορύφως ἐπὶ τοῦ κανόνος εὐθὺς μετὰ τὴν ἀνατολὴν τοῦ ἡλίου, ἔπειτα ἐν ᾧ αὐτὸς ἦτο ἀκόμη εἰς τὸν ὁρίζοντα καὶ ἦτο δυνατὸν νὰ φαίνεται ἀπὸ ὅλα τὰ μέρη, ἐστράφη ὁ κανὼν μὲ διεύθυνσιν πρὸς τὸν ἥλιον, καὶ ὁ ὀφθαλμὸς ἐτέθη εἰς τὸ ἄκρον τοῦ κανόνος· ὁ δὲ κύλινδρος κείμενος μεταξὺ τοῦ ἡλίου καὶ τοῦ ὀφθαλμοῦ ἐπεσκίαζε τὸν ἥλιον. Ἀπομακρυνομένου δὲ [τοῦ κυλίνδρου] ἀπὸ τοῦ ὀφθαλμοῦ (μὲ διεύθυνσιν πρὸς τὸν ἥλιον), μόλις ἤρχισε νὰ φαίνεται ὁ ἥλιος ὀλίγον καὶ ἀπὸ τὰ δύο μέρη τοῦ κυλίνδρου, ἐστάθη ὁ κύλινδρος. Ἐὰν μὲν λοιπὸν συνέβαινεν νὰ βλέπῃ ὁ ὀφθαλμὸς μόνον ἐξ ἑνὸς σημείου, καὶ ἐὰν ἐφέρομεν ἐκ τοῦ ἄκρου τοῦ κανόνος, ὅπου εὑρίσκετο ὁ ὀφθαλμός, ἐφαπτομένας εἰς τὸν κύλινδρον, ἡ περιεχομένη γωνία ὑπὸ τῶν ἐφαπτομένων θὰ εἶναι μικροτέρα τῆς γωνίας, ὑπὸ τὴν ὁποίαν ὁ ἥλιος φαίνεται, διότι καὶ ἀπὸ τὰ δύο μέρη τοῦ κυλίνδρου φαίνεται ὀλίγον μέρος τοῦ ἡλίου· ἐπειδὴ δὲ οἱ ὀφθαλμοὶ δὲν βλέπουν μόνον ἐξ ἑνὸς σημείου, ἀλλὰ ἀπό τινος μεγέθους, ἐλήφθη μέγεθος στρογγύλον οὐχὶ μικρότερον τοῦ ὀφθαλμοῦ, καὶ ἀφοῦ ἐτέθη τὸ μέγεθος εἰς τὸ ἄκρον τοῦ κανόνος, ὅπου ἐτέθη ὁ ὀφθαλμός, καὶ ἤχθησαν ἐφαπτόμεναι καὶ τοῦ μεγέθους καὶ τοῦ κυλίνδρου ἡ περιεχομένη γωνία ὑπὸ τῶν ἐφαπτομένων ἦτο μικροτέρα τῆς γωνίας, ὑπὸ τὴν ὁποίαν φαίνεται ὁ ἥλιος. Τὸ δὲ μέγεθος τὸ οὐχὶ μικρότερον τοῦ ὀφθαλμοῦ εὑρίσκεται κατὰ τὸν ἑξῆς τρόπον· λαμβάνονται δύο κυλίνδρια λεπτὰ καὶ ἰσοπαχῆ μεταξύ των, τὸ μὲν λευκόν, τὸ δὲ ὄχι, καὶ φέρονται πρὸ τοῦ ὀφθαλμοῦ, τὸ μὲν λευκὸν μακρύτερον αὐτοῦ, τὸ δὲ μὴ λευκὸν πλησιέστατα πρὸς τὸν ὀφθαλμόν, ὥστε καὶ νὰ ἐγγίζῃ τὸ πρόσωπον. Ἐὰν μὲν λοιπὸν τὰ ληφθέντα κυλίνδρια εἶναι λεπτότερα τοῦ ὀφθαλμοῦ, τὸ πλησιέστερον κυλίνδριον περιλαμβάνεται ὑπὸ τοῦ ὀφθαλμοῦ, καὶ φαίνεται ὑπ' αὐτοῦ τὸ λευκόν, ἐὰν μὲν εἶναι παρὰ πολὺ λεπτόν, φαίνεται ὁλόκληρον, ἐὰν δὲ δὲν εἶναι, φαίνονται μέρη τινὰ τοῦ λευκοῦ καὶ ἀπὸ τὰ δύο μέρη πλησίον τοῦ ὀφθαλμοῦ, ἐὰν δὲ ληφθῶσι τὰ κυλίνδρια αὐτὰ ὑπὸ κατάλληλον πάχος ἐπισκιάζει τὸ ἓν τὸ ἄλλον καὶ ὄχι περισσότερον χῶρον· τὸ δὲ τοιοῦτον μέγεθος, ἔχον τὸ πάχος τῶν κυλινδρίων, τὰ ὁποῖα προκαλοῦν τὸ

15 τῶν τοῦτο ποιούντων μάλιστά πώς ἐστιν οὐκ ἔλαττον τᾶς ὄψιος. ἁ δὲ γωνία ἁ οὐκ ἐλάττων τᾶς γωνίας, εἰς ἂν ὁ ἅλιος ἐναρμόζει τὰν κορυφὰν ἔχουσαν ποτὶ τᾷ ὄψει, οὕτως ἐλάφθη· ἀποσταθέντος ἐπὶ τοῦ κανονίου τοῦ κυλίνδρου ἀπὸ τᾶς ὄψιος οὕτως, ὡς ἐπισκοτεῖν τὸν κύλινδρον ὅλῳ τῷ ἁλίῳ, καὶ ἀχθεισᾶν εὐθειᾶν ἀπ' ἄκρου τοῦ κανόνος, ἐν ᾧ τόπῳ ἁ ὄψις κατεστάθη, ἐπιψαυουσᾶν τοῦ κυλίνδρου ἁ περιεχομένα γωνία ὑπὸ τᾶν ἀχθεισᾶν εὐθειᾶν οὐκ ἐλάττων γίνεται τᾶς γωνίας, εἰς ἂν ὁ ἅλιος ἐναρμόζει τὰν κορυφὰν ἔχουσαν ποτὶ τᾷ ὄψει. ταῖς
16 δὴ γωνίαις ταῖς οὕτως λαφθείσαις καταμετρηθείσας ὀρθᾶς γωνίας ἐγένετο ἁ ἐν στίγῳ διαιρεθείσας τᾶς ὀρθᾶς εἰς $\overline{ρξδ}$ ἐλάττων ἢ ἓν μέρος τούτων, ἁ δὲ ἐλάττων διαιρεθείσας τᾶς ὀρθᾶς εἰς $\overline{σ}$ μείζων ἢ ἓν μέρος τούτων· δῆλον οὖν, ὅτι καὶ ἁ γωνία, εἰς ἂν ὁ ἅλιος ἐναρμόζει τὰν κορυφὰν ἔχουσαν ποτὶ τᾷ ὄψει, ἐλάττων μέν ἐστιν ἢ διαιρεθείσας τᾶς ὀρθᾶς εἰς $\overline{ρξδ}$ τούτων ἓν
17 μέρος, μείζων δὲ ἢ διαιρεθείσας τᾶς ὀρθᾶς εἰς $\overline{σ}$ τούτων ἓν μέρος. πεπιστευμένων δὲ τούτων δείκνυται ἁ διάμετρος τοῦ ἁλίου μείζων ἐοῦσα τᾶς τοῦ χιλιαγώνου πλευρᾶς τοῦ εἰς τὸν μέγιστον κύκλον ἐγγραφομένου τῶν ἐν τῷ κόσμῳ. νοείσθω γὰρ ἐπίπεδον ἐκβεβλημένον διά τε τοῦ κέντρου τοῦ ἁλίου καὶ τοῦ κέντρου τᾶς γᾶς καὶ διὰ τᾶς ὄψιος, μικρὸν ὑπὲρ τὸν ὁρίζοντα ἐόντος τοῦ ἁλίου, τεμνέτω δὲ τὸ ἐκβληθὲν ἐπίπεδον τὸν μὲν κόσμον κατὰ τὸν ΑΒΓ κύκλον, τὰν δὲ γᾶν κατὰ τὸν
H 228 ΔΕΖ, τὸν δὲ ἅλιον κατὰ τὸν ΣΗ κύκλον, κέντρον δὲ ἔστω τᾶς μὲν γᾶς τὸ Θ, τοῦ δὲ ἁλίου τὸ Κ, ὄψις δὲ ἔστω τὸ Δ, καὶ ἄχθωσαν εὐθεῖαι ἐπιψαύουσαι τοῦ ΣΗ κύκλου ἀπὸ μὲν τοῦ Δ αἱ ΔΛ, ΔΞ, ἐπιψαυόντων δὲ κατὰ τὸ Ν καὶ τὸ Τ, ἀπὸ δὲ τοῦ Θ αἱ ΘΜ, ΘΟ, ἐπιψαυόντων δὲ κατὰ τὸ Χ καὶ τὸ Ρ, τὸν δὲ ΑΒΓ
18 κύκλον τεμνόντων αἱ ΘΜ, ΘΟ κατὰ τὸ Α καὶ τὸ Β· ἔστι δὴ μείζων ἁ ΘΚ τᾶς ΔΚ, ἐπεὶ ὑπόκειται ὁ ἅλιος ὑπὲρ τὸν ὁρίζοντα εἶμεν· ὥστε ἁ γωνία ἁ περιεχομένα ὑπὸ τᾶν ΔΛ, ΔΞ μείζων ἐστὶ τᾶς γωνίας τᾶς περιεχομένας ὑπὸ τᾶν ΘΜ, ΘΟ.

φαινόμενον αὐτό, δὲν εἶναι τοὐλάχιστον μικρότερον τοῦ ὀφθαλμοῦ· Ἡ δὲ γωνία ἡ ὁποία δὲν εἶναι μικροτέρα τῆς γωνίας ὑπὸ τὴν ὁποίαν φαίνεται ὁ ἥλιος, ἐλήφθη κατ' αὐτὸν τὸν τρόπον· ὅταν σταθῇ ἐπὶ τοῦ κανόνος ὁ κύλινδρος εἰς τόσην ἀπόστασιν ἀπὸ τοῦ ὀφθαλμοῦ, ὥστε ὁ κύλινδρος νὰ ἐπισκιάζῃ ὁλόκληρον τὸν ἥλιον, καὶ ἀφοῦ ἀχθῶσιν εὐθεῖαι ἀπὸ τοῦ ἄκρου τοῦ κανόνος, ἀπὸ τὸ μέρος, ὅπου ἐστάθη ὁ ὀφθαλμός, αἱ ὁποῖαι νὰ ἐφάπτωνται τοῦ κυλίνδρου, ἡ γωνία ἡ περιεχομένη ὑπὸ τῶν ἀχθεισῶν εὐθειῶν δὲν γίνεται μικροτέρα τῆς γωνίας, ὑπὸ τὴν ὁποίαν φαίνεται ὁ ἥλιος. Ὅταν ἔγινε σύγκρισις τῶν οὕτω πως ληφθεισῶν γωνιῶν πρὸς μίαν ὀρθὴν γωνίαν εὑρέθη (ἡ μεγαλυτέρα), ἀφοῦ ἡ ὀρθὴ διῃρέθη εἰς 164 μέρη διὰ στιγμῶν (διὰ στίγων), οὐχὶ μικροτέρα τοῦ ἑνὸς 164ου, ἡ δὲ μικροτέρα, ἀφοῦ ἡ ὀρθὴ διῃρέθη εἰς 200 μέρη, οὐχὶ μεγαλυτέρα τοῦ ἑνὸς 200ου· εἶναι λοιπὸν φανερόν, ὅτι καὶ ἡ γωνία, ὑπὸ τὴν ὁποίαν φαίνεται ὁ ἥλιος εἶναι μικροτέρα μὲν τοῦ ἑνὸς 164ου τῆς ὀρθῆς, μεγαλυτέρα δὲ τοῦ ἑνὸς 200ου μέρους τῆς ὀρθῆς. Ἀφοῦ δὲ ταῦτα γίνωσι παραδεκτὰ ἀποδεικνύεται, ὅτι ἡ διάμετρος τοῦ ἡλίου εἶναι μεγαλυτέρα τῆς πλευρᾶς τοῦ χιλιαγώνου τοῦ ἐγγραφομένου εἰς τὸν μέγιστον κύκλον τῶν ἐν τῷ κόσμῳ. Διότι ἂς νοηθῇ ἐπίπεδον διερχόμενον καὶ διὰ τοῦ κέντρου τοῦ ἡλίου καὶ διὰ τοῦ κέντρου τῆς γῆς καὶ διὰ τοῦ ὀφθαλμοῦ (τοῦ παρατηρητοῦ), τοῦ ἡλίου εὑρισκομένου ὀλίγον ὑπὲρ τὸν ὁρίζοντα, ἂς τέμνῃ δὲ τὸ ἀχθὲν ἐπίπεδον τὸν μὲν κόσμον κατὰ τὸν κύκλον ΑΒΓ, τὴν δὲ γῆν κατὰ τὸν ΔΕΖ, τὸν δὲ ἥλιον κατὰ τὸν κύκλον ΣΗ, κέντρον δὲ ἔστω τῆς μὲν γῆς τὸ Θ, τοῦ δὲ ἡλίου τὸ Κ, ὀφθαλμὸς δὲ ἔστω τὸ Δ, καὶ ἂς ἀχθῶσιν εὐθεῖαι ἐφαπτόμεναι τοῦ κύκλου ΣΗ ἀπὸ μὲν τοῦ Δ αἱ ΔΛ, ΔΞ, ἂς ἐφάπτωνται δὲ κατὰ τὸ Ν καὶ τὸ Τ, ἀπὸ δὲ τοῦ Θ αἱ ΘΜ, ΘΟ, ἂς ἐφάπτωνται δὲ κατὰ τὸ Χ καὶ τὸ Ρ, νὰ τέμνωσι δὲ τὸν κύκλον ΑΒΓ αἱ ΘΜ, ΘΟ κατὰ τὸ Α καὶ τὸ Β· εἶναι δὲ μεγαλυτέρα ἡ ΘΚ τῆς ΔΚ, ἐπειδὴ ὑπετέθη, ὅτι ὁ ἥλιος εἶναι ὑπὲρ τὸν ὁρίζοντα· ὥστε ἡ γωνία ἡ περιεχομένη ὑπὸ τῶν ΔΛ, ΔΞ εἶναι μεγαλυτέρα τῆς γωνίας τῆς περιεχομένης ὑπὸ τῶν ΘΜ, ΘΟ.

ἁ δὲ περιεχομένα γωνία ὑπὸ τᾶν ΔΛ, ΔΞ μείζων μέν ἐστιν
ἢ διακοσιοστὸν μέρος ὀρθᾶς, ἐλάττων δὲ ἢ τᾶς ὀρθᾶς διαιρε-
θείσας εἰς ρ̅ξ̅δ̅ τούτων ἓν μέρος· ἴσα γάρ ἐστιν τᾷ γωνίᾳ, εἰς
ἃν ὁ ἅλιος ἐναρμόζει τὰν κορυφὰν ἔχουσαν ποτὶ τᾷ ὄψει·
ὥστε ἁ γωνία ἁ περιεχομένα ὑπὸ τᾶν ΘΜ, ΘΟ ἐλάττων ἐστὶν
ἢ τᾶς ὀρθᾶς διαιρεθείσας εἰς ρ̅ξ̅δ̅ τούτων ἓν μέρος, ἁ δὲ ΑΒ
εὐθεῖα ἐλάττων ἐστὶ τᾶς ὑποτεινούσας ἓν τμᾶμα διαιρεθεί-
19 σας τᾶς τοῦ ΑΒΓ κύκλου περιφερείας ἐς χ̅ν̅ς̅. ἁ δὲ τοῦ εἰρη-
μένου πολυγωνίου περίμετρος ποτὶ τὰν ἐκ τοῦ κέντρου τοῦ
H 230 ΑΒΓ κύκλου ἐλάττονα λόγον ἔχει ἢ τὰ μ̅δ̅ ποτὶ τὰ ζ̅ διὰ τὸ
παντὸς πολυγωνίου ἐγγεγραμμένου ἐν κύκλῳ τὰν περίμετρον
ποτὶ τὰν ἐκ τοῦ κέντρου ἐλάττονα λόγον ἔχειν ἢ τὰ μ̅δ̅ ποτὶ
τὰ ζ̅· ἐπίστασαι γὰρ δεδειγμένον ὑφ' ἁμῶν, ὅτι παντὸς κύκλου
ἁ περιφέρεια μείζων ἐστὶν ἢ τριπλασίων τᾶς διαμέτρου ἐλάσ-
σονι ἢ ἑβδόμῳ μέρει, ταύτας δὲ ἐλάττων ἐστὶν ἁ περίμετρος
τοῦ ἐγγραφέντος πολυγωνίου· ἐλάττω οὖν λόγον ἔχει ἁ ΒΑ
ποτὶ τὰν ΘΚ ἢ τὰ ι̅α̅ ποτὶ τὰ ,α̅ρ̅μ̅η̅· ὥστε ἐλάττων ἐστὶν ἁ
20 ΒΑ τᾶς ΘΚ ἢ ἑκατοστὸν μέρος. τᾷ δὲ ΒΑ ἴσα ἐστὶν ἁ διά-
μετρος τοῦ ΣΗ κύκλου, διότι καὶ ἁ ἡμίσεια αὐτᾶς ἁ ΦΑ ἴσα
ἐστὶ τᾷ ΚΡ· ἰσᾶν γὰρ ἐουσᾶν τᾶν ΘΚ, ΘΑ ἀπὸ τῶν περάτων
καθέτοι ἐπιζεύγνυνται ὑπὸ τὰν αὐτὰν γωνίαν· δῆλον οὖν, ὅτι
ἁ διάμετρος τοῦ ΣΗ κύκλου ἐλάττων ἐστὶν ἢ ἑκατοστὸν μέρος
τᾶς ΘΚ. καὶ ἁ ΕΘΥ διάμετρος ἐλάττων ἐστὶ τᾶς διαμέτρου
τοῦ ΣΗ κύκλου, ἐπεὶ ἐλάττων ἐστὶν ὁ ΔΕΖ κύκλος τοῦ ΣΗ
κύκλου· ἐλάττονες ἄρα ἐντὶ ἀμφότεραι αἱ ΘΥ, ΚΣ ἢ ἑκατο-
στὸν μέρος τᾶς ΘΚ· ὥστε ἁ ΘΚ ποτὶ τὰν ΥΣ ἐλάττονα λόγον
ἔχει ἢ τὰ ρ̅ ποτὶ τὰ ϙ̅θ̅. καὶ ἐπεὶ ἁ μὲν ΘΚ οὐκ ἐλάττων ἐστὶ
τᾶς ΘΡ, ἁ δὲ ΣΥ ἐλάττων τᾶς ΔΤ, ἐλάττω ἄρα κα λόγον ἔχοι
21 ἁ ΘΡ ποτὶ τὰν ΔΤ ἢ τὰ ρ̅ ποτὶ τὰ ϙ̅θ̅. ἐπεὶ δὲ τῶν ΘΚΡ,
ΔΚΤ ὀρθογωνίων ἐόντων αἱ μὲν ΚΡ, ΚΤ πλευραὶ ἴσαι ἐντί,
αἱ δὲ ΘΡ, ΔΤ ἀνίσοι καὶ μείζων ἁ ΘΡ, ἁ γωνία ἁ περιεχομένα
H 232 ὑπὸ τᾶν ΔΤ, ΔΚ ποτὶ τὰν γωνίαν τὰν περιεχομέναν ὑπὸ τᾶν

Ἡ δὲ περιεχομένη γωνία ὑπὸ τῶν ΔΛ, ΔΞ εἶναι μεγαλυτέρα μὲν τοῦ διακοσιοστοῦ μέρους τῆς ὀρθῆς, μικροτέρα δὲ τοῦ ἑκατοστοῦ ἑξηκοστοῦ τετάρτου μέρους αὐτῆς· διότι εἶναι ἴση πρὸς τὴν γωνίαν ὑπὸ τὴν ὁποίαν φαίνεται ὁ ἥλιος· ὥστε ἡ γωνία ἡ περιεχομένη ὑπὸ τῶν ΘΜ, ΘΟ εἶναι μικροτέρα τοῦ ἑνὸς 164ου τῆς ὀρθῆς, ἡ δὲ εὐθεῖα ΑΒ εἶναι μικροτέρα τῆς ὑποτεινούσης (χορδῆς) ἑνὸς τόξου τοῦ κύκλου ΑΒΓ διαιρεθέντος εἰς 656 μέρη. Ἡ δὲ περίμετρος τοῦ εἰρημένου πολυγώνου πρὸς τὴν ἀκτῖνα τοῦ κύκλου ΑΒΓ ἔχει μικρότερον λόγον ἢ τὰ 44 : 7, διότι ἡ περίμετρος παντὸς πολυγώνου ἐγγεγραμμένου εἰς κύκλον πρὸς τὴν ἀκτῖνα ἔχει λόγον μικρότερον τοῦ 44 : 7· διότι θὰ σοῦ εἶναι γνωστὸν τὸ ἀποδειχθὲν παρ' ἡμῶν, ὅτι παντὸς κύκλου ἡ περιφέρεια εἶναι μεγαλυτέρα τοῦ τριπλασίου τῆς διαμέτρου σὺν ὀλιγώτερον τοῦ ἑνὸς ἑβδόμου αὐτῆς (Κύκλου μέτρησις, θ. 3), ταύτης δὲ μικροτέρα εἶναι ἡ περίμετρος τοῦ ἐγγραφέντος πολυγώνου· ἔχει λοιπὸν μικρότερον λόγον ἡ ΒΑ : ΘΚ ἢ τὰ 11 : 1148· ὥστε εἶναι $\mathrm{BA} < \frac{1}{100}\,\Theta\mathrm{K}$. Πρὸς δὲ τὴν ΒΑ εἶναι ἴση ἡ διάμετρος τοῦ κύκλου ΣΗ, διότι καὶ τὸ ἥμισυ αὐτῆς ἡ ΦΑ εἶναι ἴση πρὸς τὴν ΚΡ· διότι, ἐν ᾧ αἱ ΘΚ, ΘΑ εἶναι ἴσαι ἔχουσιν ἀχθῆ ἀπὸ τῶν περάτων αὐτῶν κάθετοι ὑπὸ τὴν αὐτὴν γωνίαν (Εὐκλ. Ι, 26)· εἶναι λοιπὸν φανερόν, ὅτι ἡ διάμετρος τοῦ κύκλου ΣΗ εἶναι μικροτέρα τοῦ $\frac{1}{100}\,\Theta\mathrm{K}$. Καὶ ἡ διάμετρος ΕΘΥ εἶναι μικροτέρα τῆς διαμέτρου τοῦ κύκλου ΣΗ, ἐπειδὴ ὁ κύκλος ΔΕΖ εἶναι μικρότερος τοῦ κύκλου ΣΗ· εἶναι ἄρα τὸ ἄθροισμα $\Theta\Upsilon + \mathrm{K}\Sigma < \frac{1}{100}\,\Theta\mathrm{K}$· ὥστε εἶναι $\Theta\mathrm{K} : \Upsilon\Sigma < 100 : 99$. Καὶ ἐπειδὴ ἡ μὲν ΘΚ δὲν εἶναι μικροτέρα τῆς ΘΡ (Εὐκλ. ΙΙΙ, 8), ἡ δὲ ΣΥ εἶναι μικροτέρα τῆς ΔΤ, θὰ εἶναι ἄρα $\Theta\mathrm{P} : \Delta\mathrm{T} < 100 : 99$. Ἐπειδὴ δὲ τὰ τρίγωνα ΘΚΡ, ΔΚΤ εἶναι ὀρθογώνια, αἱ μὲν πλευραὶ ΚΡ, ΚΤ εἶναι ἴσαι, αἱ δὲ ΘΡ, ΔΤ εἶναι ἄνισοι καὶ μεγαλυτέρα εἶναι ἡ ΘΡ, ἡ γωνία ἡ περιεχομένη ὑπὸ τῶν ΔΤ, ΔΚ πρὸς τὴν γωνίαν τὴν περιεχομένην ὑπὸ τῶν ΘΡ, ΘΚ ἔχει μεγαλύ-

ΘΡ, ΘΚ μείζονα μὲν ἔχει λόγον ἢ ἁ ΘΚ ποτὶ τὰν ΔΚ, ἐλάττω δὲ ἢ ἁ ΘΡ ποτὶ τὰν ΔΤ· εἰ γάρ κα δυῶν τριγώνων ὀρθογωνίων αἱ μὲν ἅτεραι πλευραὶ αἱ περὶ τὰν ὀρθὰν γωνίαν ἴσαι ἔωντι, αἱ δὲ ἅτεραι ἀνίσοι, ἁ μείζων γωνία τᾶν ποτὶ ταῖς ἀνίσοις πλευραῖς ποτὶ τὰν ἐλάττονα μείζονα μὲν ἔχει λόγον ἢ ἁ μείζων γραμμὰ τᾶν ὑπὸ τὰν ὀρθὰν γωνίαν ὑποτεινουσᾶν ποτὶ τὰν ἐλάττονα, ἐλάττονα δὲ ἢ ἁ μείζων γραμμὰ τᾶν περὶ
22 *τὰν ὀρθὰν γωνίαν ποτὶ τὰν ἐλάττονα. ὥστε ἁ γωνία ἁ περιεχομένα ὑπὸ τᾶν ΔΛ, ΔΞ ποτὶ τὰν γωνίαν τὰν περιεχομέναν ὑπὸ τᾶν ΘΟ, ΘΜ ἐλάττω λόγον ἔχει ἢ ἁ ΘΡ ποτὶ τὰν ΔΤ, ἅτις ἐλάττω λόγον ἔχει ἢ τὰ* $\overline{\varrho}$ *ποτὶ τὰ* $\overline{\text{ϙ}\theta}$*· ὥστε καὶ ἁ γωνία ἁ περιεχομένα ὑπὸ τᾶν ΔΛ, ΔΞ ποτὶ τὰν γωνίαν τὰν περιεχομέναν ὑπὸ τᾶν ΘΜ, ΘΟ ἐλάττω λόγον ἔχει ἢ τὰ* $\overline{\varrho}$ *ποτὶ τὰ* $\overline{\text{ϙ}\theta}$*. καὶ ἐπεί ἐστιν ἁ γωνία ἁ περιεχομένα ὑπὸ τᾶν ΔΛ, ΔΞ*



τερον μὲν λόγον ἢ ἡ ΘΚ : ΔΚ, μικρότερον δὲ ἢ ἡ ΘΡ : ΔΤ· διότι ἐὰν δύο ὀρθογωνίων τριγώνων αἱ δύο κάθετοι πλευραὶ εἶναι ἴσαι, αἱ ἄλλαι δὲ κάθετοι εἶναι ἄνισοι, ἡ μεγαλυτέρα γωνία ἡ σχηματιζομένη ὑπὸ τῶν ἀνίσων καθέτων πλευρῶν πρὸς τὴν μικροτέραν ἔχει μεγαλύτερον μὲν λόγον ἢ ἡ μεγαλυτέρα ὑποτείνουσα πρὸς τὴν μικροτέραν, μικρότερον δὲ ἢ ἡ μεγαλυτέρα κάθετος πλευρὰ πρὸς τὴν μικροτέραν. Ὥστε ἡ γωνία ἡ περιεχομένη ὑπὸ τῶν ΔΛ, ΔΞ πρὸς τὴν γωνίαν τὴν περιεχομένην ὑπὸ τῶν ΘΟ, ΘΜ ἔχει μικρότερον λόγον ἢ ἡ ΘΡ : ΔΤ, ἡ ὁποία ἔχει μικρότερον λόγον ἢ τὰ 100 : 99· ὥστε καὶ ἡ γωνία ἡ περιεχομένη ὑπὸ τῶν ΔΛ, ΔΞ πρὸς τὴν γωνίαν τὴν περιεχομένην ὑπὸ τῶν ΘΜ, ΘΟ ἔχει μικρότερον λόγον ἢ τὰ 100 : 99. Καὶ ἐπειδὴ ἡ γωνία ἡ περιεχομένη ὑπὸ τῶν ΔΛ, ΔΞ εἶναι μεγαλυτέρα τοῦ $\frac{1}{200}$

μείζων ἢ διακοσιοστὸν μέρος ὀρθᾶς, εἴη κα ἁ γωνία ἁ περιε-
χομένα ὑπὸ τᾶν ΘΜ, ΘΟ μείζων ἢ τὰς ὀρθᾶς διαιρεθείσας
ἐς δισμύρια τούτων ϛ̅θ̅ μέρεα· ὥστε μείζων ἐστὶν ἢ διαιρε-
θείσας τᾶς ὀρθᾶς εἰς σ̅ καὶ γ̅ τούτων ἓν μέρος. ἁ ἄρα ΒΑ μεί-
ζων ἐστὶ τᾶς ὑποτεινούσας ἓν τμᾶμα διῃρημένας τᾶς τοῦ ΑΒΓ
κύκλου περιφερείας εἰς ω̅ι̅β̅. τᾷ δὲ ΑΒ ἴσα ἐντὶ ἁ τοῦ ἁλίου
διάμετρος· δῆλον οὖν, ὅτι μείζων ἐστὶν ἁ τοῦ ἁλίου διάμετρος
τᾶς τοῦ χιλιαγώνου πλευρᾶς.

1 II. Τούτων δὲ ὑποκειμένων δείκνυται καὶ τάδε· οἷον ἁ διά-
μετρος τοῦ κόσμου τᾶς διαμέτρου τᾶς γᾶς ἐλάττων ἐστὶν ἢ
μυριοπλασίων, καὶ ἔτι ἁ διάμετρος τοῦ κόσμου ἐλάττων ἐστὶν
ἢ σταδίων μυριάκις μυριάδες ρ̅. ἐπεὶ γὰρ ὑπόκειται τὰν διά-
H 234 μετρον τοῦ ἁλίου μὴ μείζω εἶμεν ἢ τριακονταπλασίονα τᾶς
διαμέτρου τᾶς σελήνας, τὰν δὲ διάμετρον τᾶς γᾶς μείζω εἶμεν
τᾶς διαμέτρου τᾶς σελήνας, δῆλον, ὡς ἁ διάμετρος τοῦ ἁλίου
ἐλάττων ἐστὶν ἢ τριακονταπλασίων τᾶς διαμέτρου τᾶς γᾶς.
πάλιν δέ, ἐπεὶ ἐδείχθη ἁ διάμετρος τοῦ ἁλίου μείζων ἐοῦσα
τᾶς τοῦ χιλιαγώνου πλευρᾶς τοῦ εἰς τὸν μέγιστον κύκλον ἐγ-
γραφομένου τῶν ἐν τῷ κόσμῳ, φανερόν, ὅτι ἁ τοῦ χιλιαγώνου
περίμετρος τοῦ εἰρημένου ἐλάττων ἐστὶν ἢ χιλιοπλασίων τᾶς
διαμέτρου τοῦ ἁλίου. ἁ δὲ διάμετρος τοῦ ἁλίου ἐλάττων ἐστὶν
2 ἢ τριακονταπλασίων τᾶς διαμέτρου τᾶς γᾶς· ὥστε ἁ περίμε-
τρος τοῦ χιλιαγώνου ἐλάττων ἐστὶν ἢ τρισμυριοπλασίων τᾶς
διαμέτρου τᾶς γᾶς. ἐπεὶ οὖν ἁ περίμετρος τοῦ χιλιαγώνου
τᾶς μὲν διαμέτρου τᾶς γᾶς ἐλάττων ἐστὶν ἢ τρισμυριοπλα-
σίων, τᾶς δὲ διαμέτρου τοῦ κόσμου μείζων ἢ τριπλασίων· δέ-
δεικται γάρ τοι, διότι παντὸς κύκλου ἁ διάμετρος ἐλάττων
ἐστὶν ἢ τρίτον μέρος παντὸς πολυγωνίου τᾶς περιμέτρου, ὅ κα
ἰσόπλευρον ᾖ καὶ πολυγωνότερον τοῦ ἑξαγώνου ἐγγεγραμμένον
ἐν τῷ κύκλῳ· εἴη κα ἁ διάμετρος τοῦ κόσμου ἐλάττων ἢ μυριο-
πλασίων τᾶς διαμέτρου τᾶς γᾶς. ἁ μὲν οὖν διάμετρος τοῦ κό-
3 σμου ἐλάττων ἐοῦσα ἢ μυριοπλασίων τᾶς διαμέτρου τᾶς γᾶς

τῆς ὀρθῆς, θὰ εἶναι καὶ ἡ γωνία ἡ περιεχομένη ὑπὸ τῶν ΘΜ, ΘΟ μεγαλυτέρα $\frac{99}{20.000}$ τῆς ὀρθῆς· ὥστε εἶναι μεγαλυτέρα καὶ τοῦ $\frac{1}{203}$ τῆς ὀρθῆς. Εἶναι ἄρα ἡ ΒΑ μεγαλυτέρα τῆς χορδῆς τόξου τοῦ κύκλου ΑΒΓ διαιρεθέντος εἰς 812 ἴσα μέρη. Πρὸς δὲ τὴν ΑΒ εἶναι ἴση ἡ διάμετρος τοῦ ἡλίου· εἶναι λοιπὸν φανερόν, ὅτι ἡ διάμετρος τοῦ ἡλίου εἶναι μεγαλυτέρα τῆς πλευρᾶς τοῦ χιλιαγώνου.

2. Τούτων δὲ ὑποκειμένων ἀποδεικνύονται καὶ τὰ ἑξῆς· ὅτι ἡ διάμετρος τοῦ κόσμου εἶναι μικροτέρα 10.000 διαμέτρων τῆς γῆς, καὶ ἀκόμη, ὅτι ἡ διάμετρος τοῦ κόσμου εἶναι μικροτέρα τῶν 10.000 $\times$ 10.000 $\times$ 100 σταδίων. Διότι ἐπειδὴ ὑπετέθη, ὅτι ἡ διάμετρος τοῦ ἡλίου δὲν εἶναι μεγαλυτέρα τοῦ τριακονταπλασίου τῆς διαμέτρου τῆς σελήνης, ὅτι δὲ ἡ διάμετρος τῆς γῆς εἶναι μεγαλυτέρα τῆς διαμέτρου τῆς σελήνης, εἶναι φανερόν, ὅτι ἡ διάμετρος τοῦ ἡλίου εἶναι μικροτέρα τοῦ τριακονταπλασίου τῆς διαμέτρου τῆς γῆς. Πάλιν δέ, ἐπειδὴ ἐδείχθη ὅτι ἡ διάμετρος τοῦ ἡλίου εἶναι μεγαλυτέρα τῆς πλευρᾶς τοῦ χιλιαγώνου τοῦ ἐγγραφομένου εἰς τὸν μέγιστον κύκλον τῶν ἐν τῷ κόσμῳ, εἶναι φανερόν, ὅτι ἡ περίμετρος τοῦ εἰρημένου χιλιαγώνου εἶναι μικροτέρα τοῦ χιλιοπλασίου τῆς διαμέτρου τοῦ ἡλίου. Ἡ δὲ διάμετρος τοῦ ἡλίου εἶναι μικροτέρα τοῦ τριακονταπλασίου τῆς διαμέτρου τῆς γῆς· ὥστε ἡ περίμετρος τοῦ χιλιαγώνου εἶναι μικροτέρα 30.000 διαμέτρων τῆς γῆς. Ἐπειδὴ λοιπὸν ἡ περίμετρος τοῦ χιλιαγώνου εἶναι μικροτέρα μὲν 30.000 διαμέτρων τῆς γῆς, μεγαλυτέρα δὲ τοῦ τριπλασίου τῆς διαμέτρου τοῦ κόσμου· διότι ἔχει ἀποδειχθῆ, ὅτι ἡ διάμετρος παντὸς κύκλου εἶναι μικροτέρα τοῦ ἑνὸς τρίτου τῆς περιμέτρου κανονικοῦ πολυγώνου ἐγγεγραμμένου εἰς τὸν κύκλον, ὅταν τοῦτο ἔχῃ περισσοτέρας πλευρὰς τοῦ ἑξαγώνου· θὰ εἶναι ἑπομένως καὶ ἡ διάμετρος τοῦ κόσμου μικροτέρα τῶν 10.000 διαμέτρων τῆς γῆς. Ἀπεδείχθη λοιπόν, ὅτι ἡ μὲν διάμετρος τοῦ κόσμου εἶναι μικροτέρα τῶν 10.000 διαμέτρων τῆς γῆς· ὅτι δὲ ἡ διάμετρος τοῦ κόσμου εἶναι μικροτέρα 10.000.000.000 σταδίων,

*δέδεικται· ὅτι δὲ ἐλάττων ἐστὶν ἁ διάμετρος τοῦ κόσμου ἢ
σταδίων μυριάκις μυριάδες ρ̅, ἐκ τούτου δῆλον· ἐπεὶ γὰρ ὑ-
πόκειται τὰν περίμετρον τᾶς γᾶς μὴ μείζονα εἶμεν ἢ τριακο-
σίας μυριάδας σταδίων, ἁ δὲ περίμετρος τᾶς γᾶς μείζων ἐστὶν
ἢ τριπλασία τᾶς διαμέτρου διὰ τὸ παντὸς κύκλου τὰν περιφέ-
ρειαν μείζονα εἶμεν ἢ τριπλασίονα τᾶς διαμέτρου, δῆλον, ὡς
ἁ διάμετρος τᾶς γᾶς ἐλάττων ἐστὶν ἢ σταδίων ρ̅ μυριάδες.*
H 236 *ἐπεὶ οὖν ἁ τοῦ κόσμου διάμετρος ἐλάττων ἐστὶν ἢ μυριοπλα-
σίων τᾶς διαμέτρου τᾶς γᾶς, δῆλον, ὡς ἁ τοῦ κόσμου διάμε-*
4 *τρος ἐλάττων ἐστὶν ἢ σταδίων μυριάκις μυριάδες ρ̅. περὶ μὲν
οὖν τῶν μεγεθέων καὶ τῶν ἀποστημάτων ταῦτα ὑποτίθεμαι,
περὶ δὲ τοῦ ψάμμου τάδε· εἴ κα ᾖ τι συγκείμενον μέγεθος ἐκ
τοῦ ψάμμου μὴ μεῖζον μάκωνος, τὸν ἀριθμὸν αὐτοῦ μὴ μεί-
ζονα εἶμεν μυρίων, καὶ τὰν διάμετρον τᾶς μάκωνος μὴ ἐλάτ-
τονα εἶμεν ἢ τετρωκοστομόριον δακτύλου. ὑποτίθεμαι δὲ
τοῦτο ἐπισκεψάμενος τόνδε τὸν τρόπον· ἐτέθεν ἐπὶ κανόνα
λεῖον μάκωνες ἐπ' εὐθείας ἐπὶ μίαν κείμεναι ἁπτόμεναι ἀλ-
λαλᾶν, καὶ ἀνέλαβον αἱ κε̅ μάκωνες πλέονα τόπον δακτυλιαίου
μάκεος. ἐλάττονα οὖν τιθεὶς τὰν διάμετρον τᾶς μάκωνος ὑπο-
τίθεμαι ὡς τετρωκοστομόριον εἶμεν δακτύλου καὶ μὴ ἐλάτ-
τονα βουλόμενος καὶ διὰ τούτων ἀναμφιλογώτατα δείκνυσθαι
τὸ προκείμενον.*

1 III. *Ἃ μὲν οὖν ὑποτίθεμαι, ταῦτα· χρήσιμον δὲ εἶμεν
ὑπολαμβάνω τὰν κατονόμαξιν τῶν ἀριθμῶν ῥηθῆμεν, ὅπως
καὶ τῶν ἄλλων οἱ τῷ βιβλίῳ μὴ περιτετευχότες τῷ ποτὶ Ζεύ-
ξιππον γεγραμμένῳ μὴ πλανῶνται διὰ τὸ μηδὲν εἶμεν ὑπὲρ*
2 *αὐτᾶς ἐν τῷδε τῷ βιβλίῳ προειρημένον. συμβαίνει δὴ τὰ ὀνό-
ματα τῶν ἀριθμῶν ἐς τὸ μὲν τῶν μυρίων ὑπάρχειν ἁμῖν παρα-
δεδομένα, καὶ ὑπὲρ τὸ τῶν μυρίων [μὲν] ἀποχρεόντως γιγνώ-
σκομες μυριάδων ἀριθμὸν λέγοντες ἔστε ποτὶ τὰς μυρίας μυ-
ριάδας. ἔστων οὖν ἁμῖν οἱ μὲν νῦν εἰρημένοι ἀριθμοὶ ἐς τὰς
μυρίας μυριάδας πρῶτοι καλουμένοι, τῶν δὲ πρώτων ἀριθμῶν*

εἶναι φανερὸν ἐκ τοῦ ἑξῆς· διότι ἐπειδὴ ὑπετέθη, ὅτι ἡ περίμετρος τῆς γῆς δὲν εἶναι μεγαλυτέρα τῶν 3.000.000 σταδίων, ἡ δὲ περίμετρος τῆς γῆς εἶναι μεγαλυτέρα τοῦ τριπλασίου τῆς διαμέτρου αὐτῆς, ἐπειδὴ παντὸς κύκλου ἡ περιφέρεια εἶναι μεγαλυτέρα τοῦ τριπλασίου τῆς διαμέτρου, εἶναι φανερόν, ὅτι ἡ διάμετρος τῆς γῆς εἶναι μικροτέρα 1.000.000 σταδίων. Ἐπειδὴ λοιπὸν ἡ διάμετρος τοῦ κόσμου εἶναι μικροτέρα 10.000 διαμέτρων τῆς γῆς, εἶναι φανερόν, ὅτι ἡ διάμετρος τοῦ κόσμου εἶναι μικροτέρα 10.000.000.000 σταδίων. Περὶ τῶν μεγεθῶν λοιπὸν καὶ τῶν ἀποστάσεων κάμνω αὐτὰς τὰς ὑποθέσεις, περὶ δὲ τῆς ἄμμου ὑποθέτω τὰ ἑξῆς· ἔστω ὅτι ὑπάρχει μέγεθος συγκείμενον ἐξ ἄμμου μὴ μεγαλύτερον κόκκου μήκωνος, ὁ ἀριθμὸς δὲ τῶν κόκκων τῆς ἄμμου ἐντὸς τοῦ μεγέθους νὰ εἶναι οὐχὶ μεγαλύτερος τῶν 10.000, καὶ ἡ διάμετρος τοῦ κόκκου τῆς μήκωνος νὰ εἶναι οὐχὶ μικροτέρα τοῦ ἑνὸς τεσσαρακοστοῦ τοῦ δακτύλου. Ὑποθέτω δὲ τοῦτο σκεφθεὶς κατὰ τὸν ἀκόλουθον τρόπον· ἐτέθησαν ἐπ' εὐθείας γραμμῆς εἰς λεῖον κανόνα κόκκοι μήκωνος ἐφαπτόμενοι ἀλλήλων, καὶ οἱ 25 κόκκοι μήκωνος κατέλαβον χῶρον ἑνὸς πλήρους μήκους δακτύλου. Θέσας λοιπὸν τὴν διάμετρον τοῦ κόκκου τῆς μήκωνος μικροτέραν, ὑποθέτω ὅτι εἶναι $\frac{1}{40}$ τοῦ δακτύλου καὶ ὄχι μικροτέρα, ἐπιθυμῶν καὶ διὰ τούτου νὰ ἀποδείξω τὸ προκείμενον ἀναντιρρητότατα.

3. Αὐτὰ λοιπὸν εἶναι ἐκεῖνα τὰ ὁποῖα ὑποθέτω· νομίζω δὲ ὅτι εἶναι χρήσιμον νὰ κατονομασθῶσιν οἱ ἀριθμοί, ἵνα, καὶ ἐκεῖνοι οἱ ὁποῖοι δὲν ἔτυχε νὰ ἀναγνώσωσι τὸ βιβλίον (περὶ ἀριθμῶν) τὸ ἀφιερωμένον εἰς τὸν Ζεύξιππον, μὴ πλανῶνται, διότι δὲν θὰ ἔχωμεν εἴπει τίποτε περὶ αὐτῶν εἰς τὸ παρὸν βιβλίον. Συμβαίνει δέ, ὥστε τὰ ὀνόματα τῶν ἀριθμῶν νὰ εἶναι ἐκ παραδόσεως γνωστὰ εἰς ἡμᾶς (ἀπὸ τῆς μονάδος) μέχρι τῶν 10.000, καὶ γνωρίζομεν ἐπίσης ἀρκούντως τοὺς ἀριθμούς, ἐν ᾧ ἀριθμοῦμεν ἀπὸ μυριάδος μέχρι 10.000 μυριάδας. Ἔστω λοιπὸν οἱ ἤδη εἰρημένοι ἀριθμοὶ ἀπὸ 1 μέχρι τῶν μυρίων μυριάδων, ἃς καλῶνται πρῶτοι, τῶν δὲ πρώτων ἀριθμῶν αἱ μύριαι

αἱ μύριαι μυριάδες μονὰς καλείσθω δευτέρων ἀριθμῶν, καὶ ἀ-
H 238 ριθμείσθων τῶν δευτέρων μονάδες καὶ ἐκ τᾶν μονάδων δεκά-
δες καὶ ἑκατοντάδες καὶ χιλιάδες καὶ μυριάδες ἐς τὰς μυρίας
μυριάδας. πάλιν δὲ καὶ αἱ μύριαι μυριάδες τῶν δευτέρων ἀ-
ριθμῶν μονὰς καλείσθω τρίτων ἀριθμῶν, καὶ ἀριθμείσθων
τῶν τρίτων ἀριθμῶν μονάδες καὶ ἀπὸ τᾶν μονάδων δεκάδες
3 καὶ ἑκατοντάδες καὶ χιλιάδες καὶ μυριάδες ἐς τὰς μυρίας μυ-
ριάδας. τὸν αὐτὸν δὲ τρόπον καὶ τῶν τρίτων ἀριθμῶν μύριαι
μυριάδες μονὰς καλείσθω τετάρτων ἀριθμῶν, καὶ αἱ τῶν τε-
τάρτων ἀριθμῶν μύριαι μυριάδες μονὰς καλείσθω πέμπτων
ἀριθμῶν, καὶ ἀεὶ οὕτως προάγοντες οἱ ἀριθμοὶ τὰ ὀνόματα
ἐχόντων ἐς τὰς μυριακισμυριοστῶν ἀριθμῶν μυρίας μυριά-
δας. ἀποχρέοντι μὲν οὖν καὶ ἐπὶ τοσοῦτον οἱ ἀριθμοὶ γιγνω-
4 σκομένοι, ἔξεστι δὲ καὶ ἐπὶ πλέον προάγειν. ἔστων γὰρ οἱ
μὲν νῦν εἰρημένοι ἀριθμοὶ πρώτας περιόδου καλουμένοι, ὁ
δὲ ἔσχατος ἀριθμὸς τᾶς πρώτας περιόδου μονὰς καλείσθω
δευτέρας περιόδου πρώτων ἀριθμῶν. πάλιν δὲ καὶ αἱ μύριαι
μυριάδες τᾶς δευτέρας περιόδου πρώτων ἀριθμῶν μονὰς κα-
λείσθω τᾶς δευτέρας περιόδου δευτέρων ἀριθμῶν. ὁμοίως δὲ
καὶ τούτων ὁ ἔσχατος μονὰς καλείσθω δευτέρας περιόδου
τρίτων ἀριθμῶν, καὶ ἀεὶ οὕτως οἱ ἀριθμοὶ προάγοντες τὰ ὀ-
νόματα ἐχόντων τᾶς δευτέρας περιόδου ἐς τὰς μυριακισμυριο-
στῶν ἀριθμῶν μυρίας μυριάδας. πάλιν δὲ καὶ ὁ ἔσχατος ἀρι-
θμὸς τᾶς δευτέρας περιόδου μονὰς καλείσθω τρίτας περιόδου
πρώτων ἀριθμῶν, καὶ ἀεὶ οὕτως προαγόντων ἐς τὰς μυριακι-
5 σμυριοστᾶς περιόδου μυριακισμυριοστῶν ἀριθμῶν μυρίας μυ-
H 240 ριάδας. τούτων δὲ οὕτως κατωνομασμένων, εἴ κα ἔωντι ἀ-
ριθμοὶ ἀπὸ μονάδος ἀνάλογον ἑξῆς κειμένοι, ὁ δὲ παρὰ τὰν
μονάδα δεκὰς ᾖ, ὀκτὼ μὲν αὐτῶν οἱ πρῶτοι σὺν τᾷ μονάδι
τῶν πρώτων ἀριθμῶν καλουμένων ἐσσοῦνται, οἱ δὲ μετ᾽ αὐ-
τοὺς ἄλλοι ὀκτὼ τῶν δευτέρων καλουμένων, καὶ οἱ ἄλλοι τὸν
αὐτὸν τρόπον τούτοις τῶν συνωνύμων καλουμένων ἐσσοῦν-

μυριάδες ἂς καλῶνται μονὰς τῶν δευτέρων ἀριθμῶν, καὶ ἂς ἀριθμηθῶσι τῶν δευτέρων ἀριθμῶν μονάδες καὶ ἐκ τῶν μονάδων δεκάδες καὶ ἑκατοντάδες καὶ χιλιάδες καὶ μυριάδες μέχρι μυριάδες μυριάδων. Πάλιν δὲ αἱ μύριαι μυριάδες τῶν δευτέρων ἀριθμῶν ἂς κληθῶσι μονὰς τρίτων ἀριθμῶν, καὶ ἂς ἀριθμηθῶσι μονάδες τῶν τρίτων ἀριθμῶν καὶ ἀπὸ τῶν μονάδων δεκάδες καὶ ἑκατοντάδες καὶ χιλιάδες καὶ μυριάδες μέχρι μυριάδες μυριάδων. Κατὰ τὸν αὐτὸν δὲ τρόπον καὶ τῶν τρίτων ἀριθμῶν μύριαι μυριάδες ἂς κληθῶσι μονὰς τῶν τετάρτων ἀριθμῶν, καὶ αἱ μύριαι μυριάδες τῶν τετάρτων ἀριθμῶν ἂς κληθῶσι μονὰς τῶν πέμπτων ἀριθμῶν, καὶ κατ' αὐτὸν τὸν τρόπον θὰ ὀνομάζωνται οἱ ἀριθμοὶ μέχρι τῶν μυριάκις μυριοστῶν ἀριθμῶν μύριαι μυριάδες. Καίτοι εἶναι ἐπαρκεῖς οἱ κατ' αὐτὸν τὸν τρόπον ὀνομαζόμενοι ἀριθμοί, ἐν τούτοις εἶναι δυνατὸν νὰ προχωρήσωμεν καὶ περισσότερον. Διότι ἔστω, ὅτι οἱ ἤδη εἰρημένοι ἀριθμοὶ ἂς κληθῶσι ἀριθμοὶ τῆς πρώτης περιόδου, ὁ δὲ τελευταῖος ἀριθμὸς τῆς πρώτης περιόδου ἂς κληθῇ μονὰς τῆς δευτέρας περιόδου πρώτων ἀριθμῶν. Πάλιν δὲ καὶ αἱ μύριαι μυριάδες τῆς δευτέρας περιόδου πρώτων ἀριθμῶν ἂς κληθῶσι μονὰς τῆς δευτέρας περιόδου δευτέρων ἀριθμῶν. Ὁμοίως δὲ καὶ ὁ τελευταῖος τούτων ἂς κληθῇ μονὰς δευτέρας περιόδου τρίτων ἀριθμῶν, καὶ πάντοτε κατ' αὐτὸν τὸν τρόπον ἂς ὀνομάζωνται οἱ ἀριθμοὶ τῆς δευτέρας περιόδου μέχρι τῶν μυριάκις μυριοστῶν ἀριθμῶν μύριαι μυριάδες. Πάλιν δὲ καὶ ὁ τελευταῖος ἀριθμὸς τῆς δευτέρας περιόδου ἂς κληθῇ μονὰς τῆς τρίτης περιόδου πρώτων ἀριθμῶν, καὶ πάντοτε κατὰ τὴν αὐτὴν προχώρησιν μέχρι τῆς μυριάκις μυριοστῆς περιόδου μυριάκις μυριοστῶν ἀριθμῶν μυρίας μυριάδας. Ἐν ᾧ δὲ οἱ ἀριθμοὶ ἔχουσι κατονομασθῇ κατ' αὐτὸν τὸν τρόπον, ἐὰν ὑπάρχωσιν ἀριθμοὶ ἀπὸ μονάδος εἰς γεωμετρικὴν πρόοδον καὶ ὁ μετὰ τὴν μονάδα εἶναι δέκα, οἱ ὀκτὼ μὲν πρῶτοι ἐξ αὐτῶν σὺν τὴν μονάδα θὰ περιέχωσι τοὺς καλουμένους πρώτους ἀριθμοὺς (τῆς πρώτης τάξεως), οἱ δὲ μετ' αὐτοὺς ἄλλοι ὀκτὼ θὰ περιέχωσι τοὺς δευτέρους ἀριθμοὺς (δευτέρας τάξεως) καὶ οἱ ἄλλοι θὰ γίνωνται κατὰ τὸν αὐτὸν τρόπον πρὸς αὐτοὺς καὶ θὰ περιέχωσι τοὺς ἀντι-

ται τᾷ ἀποστάσει τᾶς ὀκτάδος τῶν ἀριθμῶν ἀπὸ τᾶς πρώτας
ὀκτάδος τῶν ἀριθμῶν. τᾶς μὲν οὖν πρώτας ὀκτάδος τῶν ἀρι-
θμῶν ὁ ὄγδοός ἐστιν ἀριθμὸς χίλιαι μυριάδες, τᾶς δὲ δευτέρας
ὀκτάδος ὁ πρῶτος, ἐπεὶ δεκαπλασίων ἐστὶν τοῦ πρὸ αὐτοῦ,
5 μύριαι μυριάδες ἐσσεῖται· οὗτος δέ ἐστι μονὰς τῶν δευτέρων
ἀριθμῶν. ὁ δὲ ὄγδοος τᾶς δευτέρας ὀκτάδος ἐστὶ χίλιαι μυριά-
δες τῶν δευτέρων ἀριθμῶν. πάλιν δὲ καὶ τᾶς τρίτας ὀκτάδος
ὁ πρῶτος, ἐπεὶ δεκαπλασίων ἐστὶ τοῦ πρὸ αὐτοῦ, μύριαι μυ-
ριάδες ἐσσεῖται τῶν δευτέρων ἀριθμῶν· οὗτος δέ ἐστιν μονὰς
6 τῶν τρίτων ἀριθμῶν. φανερὸν δέ, ὅτι καὶ πολλοσταὶ ὀκτάδες
ἑξοῦντι, ὡς εἴρηται. χρήσιμον δέ ἐστι καὶ τόδε γιγνωσκόμενον.
εἴ κα ἀριθμῶν ἀπὸ τᾶς μονάδος ἀνάλογον ἐόντων πολλαπλα-
σιάζωντί τινες ἀλλάλους τῶν ἐκ τᾶς αὐτᾶς ἀναλογίας, ὁ γενό-
μενος ἐσσεῖται ἐκ τᾶς αὐτᾶς ἀναλογίας ἀπέχων ἀπὸ μὲν τοῦ
μείζονος τῶν πολλαπλασιαξάντων ἀλλάλους, ὅσους ὁ ἐλάττων
τῶν πολλαπλασιαξάντων ἀπὸ μονάδος ἀνάλογον ἀπέχει, ἀπὸ
δὲ τᾶς μονάδος ἀφέξει ἑνὶ ἐλάττονας, ἢ ὅσος ἐστὶν ὁ ἀριθμὸς
7 συναμφοτέρων, οὓς ἀπέχοντι ἀπὸ μονάδος οἱ πολλαπλασιά-
ξαντες ἀλλάλους. ἔστων γὰρ ἀριθμοί τινες ἀνάλογον ἀπὸ μο-
H 242 νάδος οἱ *Α*, *Β*, *Γ*, *Δ*, *Ε*, *Ζ*, *Η*, *Θ*, *Ι*, *Κ*, *Λ*, μονὰς δὲ ἔστω ὁ *Α*,
καὶ πεπολλαπλασιάσθω ὁ *Δ* τῷ *Θ*, ὁ δὲ γενόμενος ἔστω ὁ *Χ*.
λελάφθω δὴ ἐκ τᾶς ἀναλογίας ὁ *Λ* ἀπέχων ἀπὸ τοῦ *Θ* τοσού-
τους, ὅσους ὁ *Δ* ἀπὸ μονάδος ἀπέχει· δεικτέον, ὅτι ἴσος ἐστὶν
ὁ *Χ* τῷ *Λ*. ἐπεὶ οὖν ἀνάλογον ἐόντων ἀριθμῶν ἴσους ἀπέχει
ὅ τε *Δ* ἀπὸ τοῦ *Α* καὶ ὁ *Λ* ἀπὸ τοῦ *Θ*, τὸν αὐτὸν ἔχει λόγον
ὁ *Δ* ποτὶ τὸν *Α*, ὃν ὁ *Λ* ποτὶ τὸν *Θ*. πολλαπλασίων δέ ἐστιν ὁ
Δ τοῦ *Α* τῷ *Δ*· πολλαπλασίων ἄρα ἐστὶν καὶ ὁ *Λ* τοῦ *Θ* τῷ
8 *Δ*· ὥστε ἴσος ἐστὶν ὁ *Λ* τῷ *Χ*. δῆλον οὖν, ὅτι ὁ γενόμενος ἐκ
τᾶς ἀναλογίας τέ ἐστιν καὶ ἀπὸ τοῦ μείζονος τῶν πολλαπλα-
σιαξάντων ἀλλάλους ἴσους ἀπέχων, ὅσους ὁ ἐλάττων ἀπὸ τᾶς
μονάδος ἀπέχει. φανερὸν δέ, ὅτι καὶ ἀπὸ μονάδος ἀπέχει ἑνὶ
ἐλάττονας, ἢ ὅσος ἐστὶν ὁ ἀριθμὸς συναμφοτέρων, οὓς ἀπέ-

στοίχους ἀριθμοὺς ἀναλόγως πρὸς τὴν ἀπόστασιν ἑκάστης ὀκτάδος ἀριθμῶν ἀπὸ τῆς πρώτης ὀκτάδος ἀριθμῶν. Τῆς μὲν λοιπὸν πρώτης ὀκτάδος τῶν ἀριθμῶν ὁ ὄγδοος ἀριθμὸς εἶναι χίλιαι μυριάδες, τῆς δὲ δευτέρας ὀκτάδος ὁ πρῶτος, ἐπειδὴ εἶναι δεκαπλάσιος τοῦ πρὸ αὐτοῦ, θὰ εἶναι μύριαι μυριάδες· οὗτος δὲ εἶναι ἡ μονὰς τῶν δευτέρων ἀριθμῶν. Ὁ δὲ ὄγδοος τῆς δευτέρας ὀκτάδος εἶναι χίλιαι μυριάδες τῶν δευτέρων ἀριθμῶν. Πάλιν δὲ καὶ τῆς τρίτης ὀκτάδος ὁ πρῶτος, ἐπειδὴ εἶναι δεκαπλάσιος τοῦ πρὸ αὐτοῦ, θὰ εἶναι μύριαι μυριάδες τῶν δευτέρων ἀριθμῶν· οὗτος δὲ εἶναι μονὰς τῶν τρίτων ἀριθμῶν. Εἶναι λοιπὸν φανερόν, ὅτι θὰ ὑπάρχωσι καὶ πολλοσταὶ ὀκτάδες, ὡς ἐλέχθη. Εἶναι δὲ χρήσιμον νὰ γνωσθῇ καὶ τὸ ἑξῆς. Ἐὰν ὑπάρχωσιν ἀριθμοὶ ἀπὸ τῆς μονάδος εἰς γεωμετρικὴν πρόοδον καὶ μερικοὶ ἐξ αὐτῶν πολλαπλασιασθῶσι μεταξύ των, τὸ γινόμενον θὰ ἀνήκῃ εἰς τὴν αὐτὴν πρόοδον καὶ ἀπέχῃ ἀπὸ τοῦ μεγαλυτέρου τῶν πολλαπλασιασάντων, τόσον ὅσον ἀπέχει ἀπὸ μονάδος ὁ μικρότερος τῶν πολλαπλασιασάντων. Ἀπὸ δὲ τῆς μονάδος θὰ ἀπέχῃ τὸ γινόμενον κατὰ ἕνα ὀλιγώτερον, ἢ ὅσον ἀπέχει ὁ ἀριθμὸς ὁ δηλούμενος ἐκ τοῦ ἀθροίσματος τῶν δύο, καθ' ὃν ἀπέχουσιν ἀπὸ τῆς μονάδος οἱ πολλαπλασιάσαντες ἀλλήλους. Διότι ἔστωσαν ἀπὸ μονάδος ἀριθμοί τινες εἰς γεωμετρικὴν πρόοδον, οἱ Α, Β, Γ, Δ, Ε, Ζ, Η, Θ, Ι, Κ, Λ, μονὰς δὲ ἔστω ὁ Α καὶ ἂς πολλαπλασιασθῇ ὁ Δ μὲ τὸν Θ, τὸ δὲ γινόμενον ἔστω ὁ Χ. Ἂς ληφθῇ λοιπὸν ἐκ τῆς προόδου ὁ Λ ἀπέχων ἀπὸ τοῦ Θ τόσους ἀριθμούς, ὅσους ἀπέχει ἀπὸ τῆς μονάδος ὁ Δ· πρέπει νὰ δειχθῇ ὅτι ὁ $X = \Lambda$. Ἐπειδὴ λοιπὸν ὑπάρχει γεωμετρικὴ πρόοδος μὲ συνεχεῖς ὅρους καὶ ἀπέχει ἴσους τὸ πλῆθος ἀριθμοὺς καὶ ὁ Δ ἀπὸ τοῦ Α καὶ ὁ Λ ἀπὸ τοῦ Θ, θὰ εἶναι $\Delta : A = \Lambda : \Theta$. Εἶναι δὲ πολλαπλάσιος ὁ Δ τοῦ Α κατὰ τὸν Δ· εἶναι ἄρα καὶ ὁ Λ τοῦ Θ πολλαπλάσιος κατὰ τὸν Δ· ὥστε εἶναι $\Lambda = X$. Εἶναι λοιπὸν φανερόν, ὅτι τὸ γινόμενον ἀνήκει εἰς τοὺς ὅρους τῆς προόδου καὶ ὅτι ἀπέχει ἀπὸ τοῦ μεγαλυτέρου τῶν πολλαπλασιασάντων ἀλλήλους ἴσους κατὰ τὸ πλῆθος ἀριθμούς, ὅσους ἀπέχει ὁ μικρότερος ἀπὸ τῆς μονάδος. Εἶναι δὲ φανερόν, ὅτι καὶ ἀπὸ τῆς μονάδος ἀπέχει κατὰ ἕνα ὀλιγώτερον, ἢ *χοντι ἀπὸ τᾶς μονάδος οἱ Δ, Θ· οἱ μὲν γὰρ Α, Β, Γ, Δ, Ε, Ζ, Η, Θ τοσοῦτοι ἐντί, ὅσους ὁ Θ ἀπὸ μονάδος ἀπέχει, οἱ δὲ Ι, Κ, Λ ἑνὶ ἐλάττονες, ἢ ὅσους ὁ Δ ἀπὸ μονάδος ἀπέχει· σὺν γὰρ τῷ Θ τοσοῦτοι ἐντί.*

1 IV. *Τούτων δὲ τῶν μὲν ὑποκειμένων, τῶν δὲ ἀποδεδειγμέ-
νων, τὸ προκείμενον δειχθήσεται. ἐπεὶ γὰρ ὑπόκειται τὰν διά-
μετρον τᾶς μάκωνος μὴ ἐλάσσονα εἶμεν ἢ τετρωκοστομόριον
δακτύλου, δῆλον, ὡς ἁ σφαῖρα ἁ δακτυλιαίαν ἔχουσα τὰν διά-
μετρον οὐ μείζων ἐστὶν ἢ ὥστε χωρεῖν μάκωνας ἑξακισμυρίας
καὶ τετρακισχιλίας· τᾶς γὰρ σφαίρας τᾶς ἐχούσας τὰν διά-
μετρον τετρωκοστομόριον δακτύλου πολλαπλασία ἐστὶν τῷ*
H 244 *εἰρημένῳ ἀριθμῷ· δέδεικται γάρ τοι, ὅτι αἱ σφαῖραι τριπλά-*
2 *σιον λόγον ἔχοντι ποτὶ ἀλλάλας τᾶν διαμέτρων. ἐπεὶ δὲ ὑπό-
κειται καὶ τοῦ ψάμμου τὸν ἀριθμὸν τοῦ εἰς τὸ τᾶς μάκωνος
μέγεθος μὴ μείζονα εἶμεν μυρίων, δῆλον, ὡς, εἰ πληρωθείη
ψάμμου ἁ σφαῖρα ἁ δακτυλιαίαν ἔχουσα τὰν διάμετρον, οὐ
μείζων κα εἴη ὁ ἀριθμὸς τοῦ ψάμμου ἢ μυριάκις τὰ ἑξακι-
σμύρια καὶ τετρακισχίλια. οὗτος δέ ἐστιν ὁ ἀριθμὸς μονάδες
τε ϛ̅ τῶν δευτέρων ἀριθμῶν καὶ τῶν πρώτων μυριάδες τετρα-
κισχίλιαι· ἐλάσσων οὖν ἐστιν ἢ ι̅ μονάδες τῶν δευτέρων ἀ-
ριθμῶν. ἁ δὲ τῶν ϱ̅ δακτύλων ἔχουσα τὰν διάμετρον σφαῖρα
πολλαπλασία ἐστὶν τᾶς δακτυλιαίαν ἐχούσας τὰν διάμετρον
σφαίρας ταῖς ϱ̅ μυριάδεσσιν διὰ τὸ τριπλάσιον λόγον ἔχειν
ποτ' ἀλλάλας τᾶν διαμέτρων τὰς σφαίρας. εἰ οὖν γένοιτο ἐκ τοῦ
ψάμμου σφαῖρα ταλικαύτα τὸ μέγεθος, ἁλίκα ἐστὶν ἁ σφαῖρα
ἁ ἔχουσα τὰν διάμετρον δακτύλων ϱ̅, δῆλον, ὡς ἐλάττων ἐσ-
σεῖται ὁ τοῦ ψάμμου ἀριθμὸς τοῦ γενομένου ἀριθμοῦ πολλα-*
3 *πλασιασθεισᾶν τᾶν δέκα μονάδων τῶν δευτέρων ἀριθμῶν ταῖς
ϱ̅ μυριάδεσσιν. ἐπεὶ δ' αἱ τῶν δευτέρων ἀριθμῶν δέκα μονά-*

ὅσον εἶναι τὸ ἄθροισμα καὶ τῶν δύο, καθ' οὓς ἀπέχουσιν ἀπὸ τῆς μονάδος οἱ Δ, Θ· διότι οἱ μὲν Α, Β, Γ, Δ, Ε, Ζ, Η, Θ εἶναι τόσοι, ὅσους ἀπέχει ὁ Θ ἀπὸ τῆς μονάδος, οἱ δὲ Ι, Κ, Λ εἶναι ὀλιγώτεροι κατὰ τὸ πλῆθος κατὰ ἓν ἢ ὅσον ἀπέχει ὁ Δ ἀπὸ τῆς μονάδος· διότι εἶναι τόσοι ὁμοῦ μὲ τὸν Θ.

4. 'Εκ τούτων δὲ ἐν ᾧ ἄλλα μὲν ἔχομεν ὑποθέσει, ἄλλα δὲ ἔχομεν ἀποδείξει, θὰ ἀποδειχθῇ τὸ προκείμενον. Διότι, ἐπειδὴ ὑπετέθη, ὅτι ἡ διάμετρος τοῦ κόκκου τῆς μήκωνος δὲν εἶναι μικροτέρα τοῦ $\frac{1}{40}$ τοῦ δακτύλου, εἶναι φανερὸν ὅτι ἡ σφαῖρα ἡ ἔχουσα τὴν διάμετρον ἴσην μὲ ἕνα δάκτυλον δὲν θὰ ἔχῃ μεγαλύτερον ὄγκον, ἢ ὥστε νὰ χωρῇ 64000 κόκκους μήκωνος· διότι αὕτη εἶναι πολλαπλασία κατὰ τὸν εἰρημένον ἀριθμὸν τῆς σφαίρας τῆς ἐχούσης διάμετρον $\frac{1}{40}$ τοῦ δακτύλου· διότι ἔχει ἀποδειχθῇ ὅτι αἱ σφαῖραι ἔχουσι πρὸς ἀλλήλας ὃν λόγον ἔχουσιν οἱ κύβοι τῶν διαμέτρων αὐτῶν (Εὐκλ. XII, 18). 'Επειδὴ δὲ ὑπετέθη, ὅτι καὶ ὁ ἀριθμὸς τῆς ἄμμου τῆς ἐχούσης μέγεθος ὄχι μεγαλύτερον τοῦ κόκκου τῆς μήκωνος δὲν εἶναι μεγαλύτερος τῶν μυρίων, εἶναι φανερόν, ὅτι, ἐὰν ἡ σφαῖρα ἡ ἔχουσα διάμετρον ἑνὸς δακτύλου πληρωθῇ ἄμμου, ὁ ἀριθμὸς τῆς ἄμμου δὲν θὰ εἶναι μεγαλύτερος τοῦ 640.000.000. Οὗτος δὲ ὁ ἀριθμὸς ἔχει 6 μονάδας τῶν δευτέρων (δευτέρας τάξεως) ἀριθμῶν καὶ τῶν πρώτων ἀριθμῶν (πρώτης τάξεως) ἔχει 4000 μυριάδας· εἶναι λοιπὸν μικρότερος τῶν 10 μονάδων τῶν δευτέρων ἀριθμῶν (δευτέρας τάξεως). 'Η δὲ σφαῖρα ἡ ἔχουσα διάμετρον 100 δακτύλους εἶναι πολλαπλασία τῆς σφαίρας τῆς ἐχούσης διάμετρον ἑνὸς δακτύλου κατὰ 1.000.000, διότι αἱ σφαῖραι ἔχουσι πρὸς ἀλλήλας λόγον ἴσον πρὸς τὸν κύβον τοῦ λόγου τῶν διαμέτρων. 'Εὰν λοιπὸν ἤθελεν ἀποτελεσθῇ σφαῖρα ἐκ τῆς ἄμμου ἔχουσα τόσον μέγεθος, ὅσον ἔχει ἡ ἔχουσα διάμετρον 100 δακτύλων, εἶναι φανερόν, ὅτι ὁ ἀριθμὸς τῆς ἄμμου θὰ εἶναι μικρότερος τοῦ ἀριθμοῦ τοῦ προκύπτοντος, ὅταν πολλαπλασιασθῶσιν αἱ 10 μονάδες τῶν δευτέρων ἀριθμῶν ἐπὶ 1.000.000. 'Επειδὴ δὲ αἱ

δες δέκατός ἐστιν ἀριθμὸς ἀπὸ μονάδος ἀνάλογον ἐν τᾷ τῶν δεκαπλασίων ὅρων ἀναλογίᾳ, αἱ δὲ ἑκατὸν μυριάδες ἕβδομος ἀπὸ μονάδος ἐκ τᾶς αὐτᾶς ἀναλογίας, δῆλον, ὡς ὁ γενόμενος ἀριθμὸς ἐσσεῖται τῶν ἐκ τᾶς αὐτᾶς ἀναλογίας ἑκκαιδέκατος ἀπὸ μονάδος· δέδεικται γάρ, ὅτι ἑνὶ ἐλάσσονας ἀπέχει ἀπὸ τᾶς μονάδος, ἢ ὅσος ἐστὶν ὁ ἀριθμὸς συναμφοτέρων, οὓς ἀπέχοντι ἀπὸ μονάδος οἱ πολλαπλασιάξαντες ἀλλάλους. τῶν
H 246 *δὲ ἑκκαίδεκα τούτων ὀκτὼ μὲν οἱ πρῶτοι σὺν τᾷ μονάδι τῶν πρώτων καλουμένων ἐντί, οἱ δὲ μετὰ τούτους ὀκτὼ τῶν δευτέρων, καὶ ὁ ἔσχατός ἐστιν αὐτῶν χίλιαι μυριάδες δευτέρων ἀριθμῶν. φανερὸν οὖν, ὅτι τοῦ ψάμμου τὸ πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ σφαίρᾳ τᾷ τὰν διάμετρον ρ̅ δακτύλων ἐχούσᾳ*
4 *ἔλαττόν ἐστιν ἢ χίλιαι μυριάδες τῶν δευτέρων ἀριθμῶν. πάλιν δὲ καὶ ἁ σφαῖρα ἁ τῶν μυρίων δακτύλων ἔχουσα τὰν διάμετρον πολλαπλασία ἐστὶν τᾶς ἐχούσας τὰν διάμετρον ρ̅ δακτύλων ταῖς ρ̅ μυριάδεσσιν. εἰ οὖν γένοιτο ἐκ τοῦ ψάμμου σφαῖρα ταλικαύτα τὸ μέγεθος, άλίκα ἐστὶν ἁ ἔχουσα σφαῖρα τὰν διάμετρον μυρίων δακτύλων, δῆλον, ὡς ἐλάσσων ἐσσεῖται ὁ τοῦ ψάμμου ἀριθμὸς τοῦ γενομένου πολλαπλασιασθεισᾶν τᾶν χιλιᾶν μυριάδων τῶν δευτέρων ἀριθμῶν ταῖς ρ̅ μυριάδεσσιν. ἐπεὶ δ' αἱ μὲν τῶν δευτέρων ἀριθμῶν χίλιαι μυριάδες ἑκκαιδεκατός ἐστιν ἀριθμὸς ἀπὸ μονάδος ἀνάλογον, αἱ δὲ ρ̅ μυριάδες ἕβδομος ἀπὸ μονάδος ἐν τᾷ αὐτᾷ ἀναλογίᾳ, δῆλον, ὡς ὁ γενόμενος*
5 *ἐσσεῖται δυοκαιεικοστὸς τῶν ἐκ τᾶς αὐτᾶς ἀναλογίας ἀπὸ μονάδος. τῶν δὲ δύο καὶ εἴκοσι τούτων ὀκτὼ μὲν οἱ πρῶτοι σὺν τᾷ μονάδι τῶν πρώτων καλουμένων ἐντί, ὀκτὼ δὲ οἱ μετὰ τούτους τῶν δευτέρων καλουμένων, οἱ δὲ λοιποὶ ἓξ τῶν τρίτων καλουμένων, καὶ ὁ ἔσχατος αὐτῶν ἐστι δέκα μυριάδες τῶν τρίτων ἀριθμῶν. φανερὸν οὖν, ὅτι τὸ τοῦ ψάμμου πλῆθος τοῦ*
H 248 *μέγεθος ἔχοντος ἴσον τᾷ σφαίρᾳ τᾷ τὰν διάμετρον ἐχούσᾳ μυ-*

10 μονάδες τῶν δευτέρων ἀριθμῶν εἶναι ὁ δέκατος ὅρος γεωμετρικῆς προόδου ἐχούσης πρῶτον ὅρον τὴν μονάδα, τὸ δὲ 1.000.000 εἶναι ὁ ἕβδομος ὅρος τῆς αὐτῆς γεωμετρικῆς προόδου, εἶναι φανερόν, ὅτι ὁ ἐκ τοῦ πολλαπλασιασμοῦ προκύπτων ἀριθμὸς θὰ εἶναι τῆς αὐτῆς προόδου ὁ δέκατος ἕκτος ὅρος· διότι ἀπεδείχθη ἤδη, ὅτι ἀπὸ τῆς μονάδος ἀπέχει κατὰ ἕνα ὀλιγώτερον, ἢ ὅσος εἶναι ὁ ἀριθμὸς τοῦ ἀθροίσματος τῶν δύο, καθ' οὓς ἀπέχουσιν οἱ πολλαπλασιάσαντες ἀλλήλους. Ἐκ τῶν δέκα ἓξ δὲ τούτων ὅρων ὀκτὼ μὲν οἱ πρῶτοι σὺν τὴν μονάδα εἶναι ἐκ τῶν καλουμένων πρώτων ἀριθμῶν (πρώτης τάξεως), οἱ δὲ μετὰ τούτους ὀκτὼ εἶναι ἐκ τῶν δευτέρων (δευτέρας τάξεως), καὶ ὁ τελευταῖος ἐξ αὐτῶν εἶναι 10.000.000 τῶν δευτέρων ἀριθμῶν. Εἶναι λοιπὸν φανερόν, ὅτι τὸ πλῆθος τῆς ἄμμου τῆς ἐχούσης μέγεθος ἴσον πρὸς τὴν σφαῖραν τὴν ἔχουσαν διάμετρον 100 δακτύλων εἶναι μικρότερον τῶν χιλίων μυριάδων (10.000.000) τῶν δευτέρων ἀριθμῶν. Πάλιν δὲ καὶ ἡ σφαῖρα ἡ ἔχουσα διάμετρον 10.000 δακτύλων εἶναι πολλαπλασία τῆς σφαίρας τῆς ἐχούσης διάμετρον 100 δακτύλων κατὰ 100 μυριάδας. Ἐὰν λοιπὸν ἤθελε γίνει σφαῖρα ἄμμου ἔχουσα τόσον μέγεθος, ὅσον ἔχει σφαῖρα ἔχουσα διάμετρον 10.000 δακτύλων, εἶναι φανερόν, ὅτι ὁ ἀριθμὸς τῆς ἄμμου θὰ εἶναι μικρότερος τοῦ ἀριθμοῦ τοῦ προκύπτοντος, ὅταν πολλαπλασιασθῶσι 1000 μυριάδες τῶν δευτέρων ἀριθμῶν ἐπὶ 100 μυριάδας. Ἐπειδὴ δὲ αἱ μὲν τῶν δευτέρων ἀριθμῶν χίλιαι μυριάδες εἶναι δέκατος ἕκτος ὅρος γεωμετρικῆς προόδου μὲ πρῶτον ὅρον τὴν μονάδα, αἱ δὲ 100 μυριάδες εἶναι ἕβδομος ὅρος τῆς αὐτῆς προόδου, εἶναι φανερόν, ὅτι τὸ γινόμενον θὰ εἶναι ὁ εἰκοστὸς δεύτερος ἀπὸ τοῦ πρώτου ὅρου τῆς αὐτῆς γεωμετρικῆς προόδου. Ἐκ τῶν 22 δὲ τούτων ὅρων οἱ μὲν πρῶτοι ὀκτὼ σὺν τὴν μονάδα εἶναι ἐκ τῶν καλουμένων πρώτων ἀριθμῶν (πρώτης τάξεως), οἱ μετὰ τούτους δὲ ὀκτὼ ἐκ τῶν καλουμένων δευτέρων, οἱ ἄλλοι δὲ ἓξ ἐκ τῶν καλουμένων τρίτων, καὶ ὁ τελευταῖος ἐξ αὐτῶν εἶναι δέκα μυριάδες τῶν τρίτων ἀριθμῶν. Εἶναι λοιπὸν φανερόν, ὅτι τὸ πλῆθος τῆς ἄμμου τῆς ἐχούσης μέγεθος ἴσον πρὸς σφαῖραν ἔχουσαν διάμετρον μυρίων δακτύλων εἶναι μικρότερον

ρίων δακτύλων ἔλασσόν ἐστιν ἢ ι̅ μυριάδες τρίτων ἀριθμῶν.
καὶ ἐπεὶ ἐλάσσων ἐστὶν ἁ σταδιαίαν ἔχουσα τὰν διάμετρον
σφαῖρα τᾶς σφαίρας τᾶς ἐχούσας τὰν διάμετρον μυρίων δα-
κτύλων, δῆλον, ὅτι καὶ τὸ τοῦ ψάμμου πλῆθος τοῦ μέγεθος
ἔχοντος ἴσον τᾷ σφαίρᾳ τᾷ τὰν διάμετρον ἐχούσᾳ σταδιαίαν
6 *ἔλασσόν ἐστιν ἢ ι̅ μυριάδες τῶν τρίτων ἀριθμῶν. πάλιν δὴ ἁ*
σφαῖρα ἁ ἔχουσα τὰν διάμετρον ρ̅ σταδίων πολλαπλασίων
ἐστὶ τᾶς σφαίρας τᾶς ἐχούσας τὰν διάμετρον σταδιαίαν ταῖς
ρ̅ μυριάδεσσιν. εἰ οὖν γένοιτο ἐκ τοῦ ψάμμου σφαῖρα ταλι-
καύτα τὸ μέγεθος, ἁλίκα ἐστὶν ἁ ἔχουσα τὰν διάμετρον ρ̅ στα-
δίων, δῆλον, ὅτι ἐλάσσων ἐσσεῖται ὁ τοῦ ψάμμου ἀριθμὸς τοῦ
γενομένου ἀριθμοῦ πολλαπλασιασθεισᾶν τᾶν δέκα μυριάδων
τρίτων ἀριθμῶν ταῖς ρ̅ μυριάδεσσι. καὶ ἐπεὶ αἱ μὲν τῶν τρί-
των ἀριθμῶν δέκα μυριάδες δυοκαιεικοστός ἐστιν ἀπὸ μο-
νάδος ἀνάλογον, αἱ δὲ ρ̅ μυριάδες ἕβδομος ἀπὸ μονάδος ἐκ
τᾶς αὐτᾶς ἀναλογίας, δῆλον, ὡς ὁ γενόμενος ἐσσεῖται ὀκτω-
7 *καιεικοστὸς ἐκ τᾶς αὐτᾶς ἀναλογίας ἀπὸ μονάδος. τῶν δὲ*
ὀκτὼ καὶ εἴκοσι τούτων ὀκτὼ μὲν οἱ πρῶτοι σὺν τᾷ μονά-
δι τῶν πρώτων καλουμένων ἐντί, οἱ δὲ μετὰ τούτους ἄλλοι
ὀκτὼ τῶν δευτέρων, καὶ οἱ μετὰ τούτους ὀκτὼ τῶν τρί-
των, οἱ δὲ λοιποὶ τέσσαρες τῶν τετάρτων καλουμένων, καὶ
ὁ ἔσχατος αὐτῶν ἐστι χίλιαι μονάδες τῶν τετάρτων ἀρι-
θμῶν. φανερὸν οὖν, ὅτι τὸ τοῦ ψάμμου πλῆθος τοῦ μέγε-
θος ἔχοντος ἴσον τᾷ σφαίρᾳ τᾷ τὰν διάμετρον ἐχούσᾳ στα-
δίων ρ̅ ἔλασσόν ἐστιν ἢ χίλιαι μονάδες τῶν τετάρτων ἀρι-
8 *θμῶν. πάλιν δὴ ἁ σφαῖρα ἁ ἔχουσα τὰν διάμετρον μυ-*
ρίων σταδίων πολλαπλασία ἐστὶ τᾶς σφαίρας τᾶς ἐχούσας
τὰν διάμετρον σταδίων ρ̅ ταῖς ρ̅ μυριάδεσσιν. εἰ οὖν γένοιτο
ἐκ τοῦ ψάμμου σφαῖρα ταλικαύτα τὸ μέγεθος, ἁλίκα ἐστὶν ἁ
σφαῖρα ἁ ἔχουσα τὰν διάμετρον σταδίων μυρίων, δῆλον, ὅτι
ἔλασσον ἐσσεῖται τὸ τοῦ ψάμμου πλῆθος τοῦ γενομένου ἀρι-
θμοῦ πολλαπλασιασθεισᾶν τᾶν χιλιᾶν μονάδων τῶν τετάρτων

τῶν 10 μυριάδων τῶν τρίτων ἀριθμῶν. Καὶ ἐπειδὴ ἡ σφαῖρα ἡ ἔχουσα διάμετρον ἑνὸς σταδίου εἶναι μικροτέρα τῆς σφαίρας τῆς ἐχούσης διάμετρον μυρίων δακτύλων, εἶναι φανερόν, ὅτι καὶ τὸ πλῆθος τῆς ἄμμου τῆς ἐχούσης μέγεθος ἴσον πρὸς σφαῖραν ἔχουσαν διάμετρον ἑνὸς σταδίου εἶναι μικρότερον τῶν 10 μυριάδων τῶν τρίτων ἀριθμῶν. Πάλιν λοιπὸν ἡ σφαῖρα ἡ ἔχουσα τὴν διάμετρον 100 σταδίων εἶναι πολλαπλασία τῆς σφαίρας τῆς ἐχούσης τὴν διάμετρον ἑνὸς σταδίου κατὰ 100 μυριάδας. Ἐὰν λοιπὸν ἤθελε γίνει ἐκ τῆς ἄμμου σφαῖρα ἔχουσα τόσον μέγεθος, ὅσον ἔχει ἡ σφαῖρα ἡ ἔχουσα διάμετρον 100 σταδίων, εἶναι φανερόν, ὅτι ὁ ἀριθμὸς τῆς ἄμμου θὰ εἶναι μικρότερος τοῦ ἀριθμοῦ τοῦ προκύπτοντος ἐκ τοῦ πολλαπλασιασμοῦ τῶν 10 μυριάδων τρίτων ἀριθμῶν ἐπὶ τὰς 100 μυριάδας. Καὶ ἐπειδὴ αἱ μὲν δέκα μυριάδες τῶν τρίτων ἀριθμῶν εἶναι ὁ εἰκοστὸς δεύτερος ὅρος τῆς γεωμετρικῆς προόδου μὲ πρῶτον ὅρον τὴν μονάδα (καὶ λόγον 10), αἱ δὲ 100 μυριάδες εἶναι ὁ ἕβδομος ὅρος ἀπὸ τῆς μονάδος τῆς αὐτῆς προόδου, εἶναι φανερόν, ὅτι ὁ προκύψας ἀριθμὸς θὰ εἶναι ὁ εἰκοστὸς ὄγδοος ἀπὸ τῆς μονάδος τῆς αὐτῆς προόδου. Ἐκ τῶν εἰκοσιοκτὼ δὲ τούτων ὅρων, οἱ μὲν ὀκτὼ πρῶτοι σὺν τὴν μονάδα εἶναι ἐκ τῶν καλουμένων πρώτων ἀριθμῶν, οἱ δὲ ἄλλοι ὀκτὼ ἐκ τῶν δευτέρων, καὶ οἱ μετὰ τούτους ὀκτὼ ἐκ τῶν τρίτων, οἱ δὲ ἄλλοι τέσσαρες ἐκ τῶν καλουμένων τετάρτων ἀριθμῶν, καὶ ὁ τελευταῖος ἐξ αὐτῶν εἶναι χίλιαι μονάδες τῶν τετάρτων ἀριθμῶν. Εἶναι λοιπὸν φανερόν, ὅτι τὸ πλῆθος τῆς ἄμμου τὸ ἔχον μέγεθος ἴσον πρὸς τὴν σφαῖραν τὴν ἔχουσαν διάμετρον 100 σταδίων εἶναι μικρότερον τῶν χιλίων μονάδων τῶν τετάρτων ἀριθμῶν. Πάλιν δὲ ἡ σφαῖρα ἡ ἔχουσα τὴν διάμετρον μυρίων σταδίων εἶναι πολλαπλασία τῆς σφαίρας τῆς ἐχούσης τὴν διάμετρον 100 σταδίων κατὰ 100 μυριάδας. Ἐὰν λοιπὸν ἤθελε γίνει σφαῖρα μὲ τόσον μέγεθος, ὅσον ἔχει ἡ σφαῖρα ἡ ἔχουσα τὴν διάμετρον μυρίων σταδίων, εἶναι φανερόν, ὅτι τὸ πλῆθος τῆς ἄμμου θὰ εἶναι μικρότερον τοῦ προκύπτοντος ἀριθμοῦ ἐκ τοῦ πολλαπλασιασμοῦ τῶν χιλίων μονάδων τῶν τετάρτων ἀριθμῶν ἐπὶ τὰς 100 μυριάδας. Ἐπειδὴ δὲ αἱ μὲν χίλιαι μονάδες τῶν τετάρτων

H 250 *ἀριθμῶν ταῖς $\overline{\varrho}$ μυριάδεσσιν. ἐπεὶ δ' αἱ μὲν τῶν τετάρτων ἀ-*
ριθμῶν χίλιαι μονάδες ὀκτωκαιεικοστός ἐστιν ἀπὸ μονάδος
ἀνάλογον, αἱ δ' ἑκατὸν μυριάδες ἕβδομος ἀπὸ μονάδος ἐκ τᾶς
αὐτᾶς ἀναλογίας, δῆλον, ὅτι ὁ γενόμενος ἐσσεῖται ἐκ τᾶς
9 *αὐτᾶς ἀναλογίας τέταρτος καὶ τριακοστὸς ἀπὸ μονάδος. τῶν*
δὲ τεσσάρων καὶ τριάκοντα τούτων ὀκτὼ μὲν οἱ πρῶτοι σὺν
τᾷ μονάδι τῶν πρώτων καλουμένων ἐντί, οἱ δὲ μετὰ τούτους
ὀκτὼ τῶν δευτέρων, καὶ οἱ μετὰ τούτους ἄλλοι ὀκτὼ τῶν
τρίτων, καὶ οἱ μετὰ τούτους ὀκτὼ τῶν τετάρτων, οἱ δὲ λοιποὶ
δύο τῶν πέμπτων καλουμένων ἐσσοῦνται, καὶ ὁ ἔσχατος αὐτῶν
ἐστι δέκα μονάδες τῶν πέμπτων ἀριθμῶν. δῆλον οὖν, ὅτι τὸ
τοῦ ψάμμου πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ σφαίρᾳ τᾷ
τὰν διάμετρον ἐχούσᾳ σταδίων μυρίων ἔλασσον ἐσσεῖται ἢ $\overline{\iota}$
10 *μονάδες τῶν πέμπτων ἀριθμῶν. πάλιν δὴ ἁ σφαῖρα ἁ ἔχουσα*
τὰν διάμετρον σταδίων $\overline{\varrho}$ μυριάδων πολλαπλασία ἐστὶ τᾶς
σφαίρας τᾶς τὰν διάμετρον ἐχούσας σταδίων μυρίων ταῖς $\overline{\varrho}$
μυριάδεσσιν. εἰ οὖν γένοιτο ἐκ τοῦ ψάμμου σφαῖρα ταλικαύ-
τα τὸ μέγεθος, ἁλίκα ἐστὶν ἁ σφαῖρα ἁ ἔχουσα τὰν διάμετρον
σταδίων $\overline{\varrho}$ μυριάδων, δῆλον, ὡς ἐλάσσων ἐσσεῖται ὁ τοῦ ψάμ-
μου ἀριθμὸς τοῦ γενομένου ἀριθμοῦ πολλαπλασιασθεισᾶν τᾶν
δέκα μονάδων τῶν πέμπτων ἀριθμῶν ταῖς $\overline{\varrho}$ μυριάδεσσιν.
καὶ ἐπεὶ αἱ μὲν τῶν πέμπτων ἀριθμῶν δέκα μονάδες τέταρτός
ἐστι καὶ τριακοστὸς ἀπὸ μονάδος ἀνάλογον, αἱ δὲ $\overline{\varrho}$ μυριάδες
ἕβδομος ἀπὸ μονάδος ἐκ τᾶς αὐτᾶς ἀναλογίας, δῆλον, ὅτι ὁ
11 *γενόμενος ἐκ τᾶς αὐτᾶς ἀναλογίας ἐσσεῖται τετρωκοστὸς ἀπὸ*
μονάδος. τῶν δὲ τεσσαράκοντα τούτων ὀκτὼ μὲν οἱ πρῶτοι
σὺν τᾷ μονάδι τῶν πρώτων καλουμένων ἐντί, οἱ δὲ μετὰ ταῦτα
H 252 *ἄλλοι ὀκτὼ τῶν δευτέρων, καὶ οἱ μετὰ τούτους ἄλλοι ὀκτὼ*
τῶν τρίτων, οἱ δὲ μετὰ τοὺς τρίτους ὀκτὼ τῶν τετάρτων, οἱ
δὲ μετὰ τούτους ὀκτὼ τῶν πέμπτων καλουμένων, καὶ ὁ ἔ-
σχατος αὐτῶν ἐστι χίλιαι μυριάδες τῶν πέμπτων ἀριθμῶν.
φανερὸν οὖν, ὅτι τοῦ ψάμμου τὸ πλῆθος τοῦ μέγεθος ἔχοντος

ἀριθμῶν εἶναι ὁ εἰκοστὸς ὄγδος ὅρος γεωμετρικῆς προόδου μὲ πρῶτον ὅρον τὴν μονάδα, αἱ δὲ 100 μυριάδες εἶναι ὁ ἕβδομος ὅρος ἀπὸ τῆς μονάδος τῆς αὐτῆς προόδου, εἶναι φανερόν, ὅτι ὁ ἐκ τοῦ πολλαπλασιασμοῦ προκύπτων ἀριθμὸς θὰ εἶναι τῆς αὐτῆς προόδου ὁ τριακοστὸς τέταρτος ὅρος ἀπὸ τῆς μονάδος. Ἐκ τῶν τριάκοντα καὶ τεσσάρων δὲ τούτων ὅρων οἱ μὲν ὀκτὼ πρῶτοι σὺν τὴν μονάδα εἶναι ἐκ τῶν καλουμένων πρώτων ἀριθμῶν, οἱ δὲ μετὰ τούτους ὀκτὼ ἐκ τῶν δευτέρων, καὶ οἱ μετὰ τούτους ἄλλοι ὀκτὼ εἶναι ἐκ τῶν τρίτων, καὶ οἱ μετὰ τούτους ὀκτὼ ἐκ τῶν τετάρτων, οἱ ἄλλοι δὲ δύο θὰ εἶναι ἐκ τῶν πέμπτων καλουμένων ἀριθμῶν, καὶ ὁ τελευταῖος ἐξ αὐτῶν εἶναι δέκα μονάδες τῶν πέμπτων ἀριθμῶν. Εἶναι λοιπὸν φανερόν, ὅτι τὸ πλῆθος τῆς ἄμμου τὴν ὁποίαν περιέχει μέγεθος ἴσον πρὸς σφαῖραν ἔχουσαν τὴν διάμετρον μυρίων σταδίων θὰ εἶναι μικρότερον τῶν 10 μονάδων τῶν πέμπτων ἀριθμῶν. Πάλιν δὲ ἡ σφαῖρα ἡ ἔχουσα τὴν διάμετρον 100 μυριάδων σταδίων εἶναι πολλαπλασία τῆς σφαίρας τῆς ἐχούσης τὴν διάμετρον μυρίων σταδίων κατὰ 100 μυριάδας. Ἐὰν λοιπὸν ἤθελε γίνει σφαῖρα ἐκ τῆς ἄμμου ἔχουσα τόσον μέγεθος, ὅσον ἔχει ἡ σφαῖρα ἡ ἔχουσα τὴν διάμετρον 100 μυριάδων σταδίων, εἶναι φανερόν, ὅτι ὁ ἀριθμὸς τῆς ἄμμου θὰ εἶναι μικρότερος τοῦ ἀριθμοῦ τοῦ προκύπτοντος ἐκ τοῦ πολλαπλασιασμοῦ τῶν δέκα μονάδων τῶν πέμπτων ἀριθμῶν ἐπὶ τὰς 100 μυριάδας. Καὶ ἐπειδὴ αἱ μὲν δέκα μονάδες τῶν πέμπτων ἀριθμῶν εἶναι ὁ τριακοστὸς τέταρτος ὅρος τῆς γεωμετρικῆς προόδου μὲ πρῶτον ὅρον τὴν μονάδα, αἱ δὲ 100 μυριάδες εἶναι ὁ ἕβδομος ὅρος ἀπὸ μονάδος τῆς αὐτῆς προόδου, εἶναι φανερόν, ὅτι ὁ προκύπτων ἀριθμὸς θὰ εἶναι ὁ τεσσαρακοστὸς ἀπὸ μονάδος. Ἐκ τῶν τεσσαράκοντα δὲ τούτων ὅρων οἱ μὲν ὀκτὼ πρῶτοι σὺν τὴν μονάδα εἶναι ἐκ τῶν πρώτων καλουμένων ἀριθμῶν, οἱ δὲ μετὰ τούτους ἄλλοι ὀκτὼ ἐκ τῶν δευτέρων, καὶ οἱ μετὰ τούτους ἄλλοι ὀκτὼ εἶναι ἐκ τῶν τρίτων, οἱ δὲ μετὰ τούτους ὀκτὼ ἐκ τῶν τετάρτων, οἱ δὲ μετὰ τούτους ὀκτὼ ἐκ τῶν πέμπτων καλουμένων, καὶ ὁ τελευταῖος ἐξ αὐτῶν εἶναι χίλιαι μυριάδες τῶν πέμπτων ἀριθμῶν. Εἶναι λοιπὸν φανερόν, ὅτι τὸ πλῆθος τῆς ἄμμου τὸ

ἶσον τᾷ σφαίρᾳ τᾷ τὰν διάμετρον ἐχούσᾳ σταδίων ρ̅ μυριάδων
12 ἔλασσόν ἐστιν ἢ χίλιαι μυριάδες τῶν πέμπτων ἀριθμῶν. ἁ δὲ
τὰν διάμετρον ἔχουσα σφαῖρα σταδίων μυριᾶν μυριάδων πολ-
λαπλασίων ἐστὶ τᾶς σφαίρας τᾶς ἐχούσας τὰν διάμετρον στα-
δίων ρ̅ μυριάδων ταῖς ρ̅ μυριάδεσσιν. εἰ δὴ γένοιτο ἐκ τοῦ
ψάμμου σφαῖρα ταλικαύτα τὸ μέγεθος, ἁλίκα ἐστὶν ἁ σφαῖρα
ἁ ἔχουσα τὰν διάμετρον σταδίων μυριᾶν μυριάδων, φανερόν,
ὅτι ἔλασσον ἐσσεῖται τὸ τοῦ ψάμμου πλῆθος τοῦ γενομένου
ἀριθμοῦ πολλαπλασιασθεισᾶν τᾶν χιλιᾶν μυριάδων τῶν πέμ-
πτων ἀριθμῶν ταῖς ρ̅ μυριάδεσσιν. ἐπεὶ δ' αἱ μὲν τῶν πέμπτων
ἀριθμῶν χίλιαι μυριάδες τετρωκοστός ἐστιν ἀπὸ μονάδος ἀ-
νάλογον, αἱ δὲ ρ̅ μυριάδες ἕβδομος ἀπὸ μονάδος ἐκ τᾶς αὐτᾶς
13 ἀναλογίας, δῆλον, ὡς ὁ γενόμενος ἐσσεῖται ἕκτος καὶ τετρω-
κοστὸς ἀπὸ μονάδος. τῶν δὲ τεσσαράκοντα καὶ ἓξ τούτων
ὀκτὼ μὲν οἱ πρῶτοι σὺν τᾷ μονάδι τῶν πρώτων καλουμένων
ἐντί, ὀκτὼ δὲ οἱ μετὰ τούτους τῶν δευτέρων, καὶ οἱ μετὰ τού-
τους ἄλλοι ὀκτὼ τῶν τρίτων, οἱ δὲ μετὰ τοὺς τρίτους ἄλλοι
ὀκτὼ τῶν τετάρτων, καὶ οἱ μετὰ τοὺς τετάρτους ὀκτὼ τῶν
πέμπτων, οἱ δὲ λοιποὶ ἓξ τῶν ἕκτων καλουμένων ἐντί, καὶ ὁ
ἔσχατος αὐτῶν ἐστι ι̅ μυριάδες τῶν ἕκτων ἀριθμῶν. φανερὸν
οὖν, ὅτι τὸ τοῦ ψάμμου πλῆθος τοῦ μέγεθος ἔχοντος ἶσον τᾷ
σφαίρᾳ τᾷ τὰν διάμετρον ἐχούσᾳ σταδίων μυριάδων μυριᾶν
14 ἔλασσόν ἐστιν ἢ ι̅ μυριάδες τῶν ἕκτων ἀριθμῶν. ἁ δὲ τὰν διά-
μετρον ἔχουσα σφαῖρα σταδίων μυριάκις μυριάδων ρ̅ πολλα-
πλασία ἐστὶ τᾶς σφαίρας τᾶς ἐχούσας τὰν διάμετρον στα-
δίων μυριάδων μυριᾶν ταῖς ρ̅ μυριάδεσσιν. εἰ οὖν γένοιτο
ἐκ τοῦ ψάμμου σφαῖρα ταλικαύτα τὸ μέγεθος, ἁλίκα ἐστὶν
ἁ σφαῖρα ἁ ἔχουσα τὰν διάμετρον σταδίων μυριάκις μυριά-
δων ρ̅, φανερόν, ὅτι τὸ τοῦ ψάμμου πλῆθος ἔλασσον ἐσσεῖται
τοῦ γενομένου ἀριθμοῦ πολλαπλασιασθεισᾶν τᾶν ι̅ μυριάδων
τῶν ἕκτων ἀριθμῶν ταῖς ρ̅ μυριάδεσσιν. ἐπεὶ δ' αἱ μὲν τῶν

ἔχον μέγεθος ἴσον πρὸς σφαῖραν ἔχουσαν τὴν διάμετρον 100 μυριάδων σταδίων εἶναι μικρότερον τῶν χιλίων μυριάδων τῶν πέμπτων ἀριθμῶν. Ἡ δὲ σφαῖρα ἡ ἔχουσα τὴν διάμετρον μυρίων μυριάδων σταδίων εἶναι πολλαπλασία τῆς σφαίρας τῆς ἐχούσης τὴν διάμετρον 100 μυριάδων σταδίων κατὰ 100 μυριάδας. Ἐὰν λοιπὸν ἤθελε γίνει ἐκ τῆς ἄμμου σφαῖρα ἔχουσα τόσον μέγεθος, ὅσον ἔχει ἡ σφαῖρα ἡ ἔχουσα τὴν διάμετρον μυρίων μυριάδων σταδίων, εἶναι φανερόν, ὅτι τὸ πλῆθος τῆς ἄμμου θὰ εἶναι μικρότερον τῶν 1000 μυριάδων τῶν πέμπτων ἀριθμῶν, ὅταν αὗται πολλαπλασιασθῶσιν ἐπὶ 100 μυριάδας. Ἐπειδὴ δὲ αἱ μὲν 1000 μυριάδες τῶν πέμπτων ἀριθμῶν εἶναι ὁ τεσσαρακοστὸς ὅρος τῆς γεωμετρικῆς προόδου μὲ πρῶτον ὅρον τὴν μονάδα, αἱ δὲ 100 μυριάδες εἶναι ὁ ἕβδομος ὅρος ἀπὸ τῆς μονάδος τῆς αὐτῆς προόδου, εἶναι φανερόν, ὅτι ὁ ἐκ τοῦ πολλαπλασιασμοῦ προκύπτων ἀριθμὸς θὰ εἶναι ὁ τεσσαρακοστὸς ἕκτος ὅρος ἀπὸ τῆς μονάδος. Ἐκ δὲ τῶν 46 τούτων ὅρων, οἱ ὀκτὼ μὲν πρῶτοι σὺν τὴν μονάδα εἶναι ἐκ τῶν καλουμένων πρώτων ἀριθμῶν, οἱ δὲ μετὰ τούτους ὀκτὼ ἐκ τῶν δευτέρων, καὶ οἱ μετὰ τούτους ἄλλοι ὀκτὼ ἐκ τῶν τρίτων, οἱ δὲ μετὰ τοὺς τρίτους ἄλλοι ὀκτὼ εἶναι ἐκ τῶν τετάρτων, καὶ οἱ μετὰ τοὺς τετάρτους ὀκτὼ εἶναι ἐκ τῶν πέμπτων, οἱ ἄλλοι δὲ ἓξ εἶναι ἐκ τῶν καλουμένων ἕκτων ἀριθμῶν, καὶ ὁ τελευταῖος ἐξ αὐτῶν εἶναι 10 μυριάδες τῶν ἕκτων ἀριθμῶν. Εἶναι λοιπὸν φανερόν, ὅτι τὸ πλῆθος τῆς ἄμμου τὸ ἔχον μέγεθος ἴσον πρὸς σφαῖραν ἔχουσαν τὴν διάμετρον μυρίων μυριάδων σταδίων εἶναι μικρότερον τῶν 10 μυριάδων τῶν ἕκτων ἀριθμῶν. Ἡ δὲ σφαῖρα ἡ ἔχουσα διάμετρον 100 μυριάδας μυριάδων σταδίων (10.000.000.000) εἶναι 100 μυριάδας φορὰς (1.000.000) πολλαπλασία τῆς σφαίρας τῆς ἐχούσης διάμετρον 10.000 μυριάδων σταδίων. Ἐὰν λοιπὸν ἤθελε γίνει ἐκ τῆς ἄμμου σφαῖρα μὲ τόσον μέγεθος, ὅσον εἶναι ἡ σφαῖρα ἡ ἔχουσα διάμετρον 10.000.000.000 σταδίων εἶναι φανερόν, ὅτι τὸ πλῆθος τῆς ἄμμου θὰ εἶναι μικρότερον τοῦ προκύπτοντος ἀριθμοῦ ἐκ τοῦ πολλαπλασιασμοῦ τῶν 10 μυριάδων τῶν ἕκτων ἀριθμῶν, κατὰ 100 μυριάδας. Ἐπειδὴ δέ, αἱ μὲν δέκα

ἕκτων ἀριθμῶν δέκα μυριάδες ἕκτος καὶ τετρωκοστός ἐστιν ἀπὸ μονάδος ἀνάλογον, αἱ δὲ ϱ̅ μυριάδες ἕβδομος ἀπὸ μονάδος ἐκ τᾶς αὐτᾶς ἀναλογίας, δῆλον, ὅτι ὁ γενόμενος ἐσσεῖται
15 δυοκαιπεντακοστὸς ἀπὸ μονάδος ἐκ τᾶς αὐτᾶς ἀναλογίας. τῶν δὲ δύο καὶ πεντήκοντα τούτων οἱ μὲν ὀκτὼ καὶ τεσσαράκοντα σὺν τᾷ μονάδι οἵ τε πρῶτοι καλουμένοι ἐντὶ καὶ οἱ δευτέροι καὶ τρίτοι καὶ τέταρτοι καὶ πέμπτοι καὶ ἕκτοι, οἱ δὲ λοιποὶ τέσσαρες τῶν ἑβδόμων καλουμένων ἐντί, καὶ ὁ ἔσχατος αὐτῶν ἐστι χίλιαι μονάδες τῶν ἑβδόμων ἀριθμῶν. φανερὸν οὖν, ὅτι τοῦ ψάμμου τὸ πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ σφαίρᾳ τᾷ τὰν διάμετρον ἐχούσᾳ σταδίων μυριάκις μυριάδων ϱ̅ ἔλασ-
16 σόν ἐστιν ἢ ,α̅ μονάδες τῶν ἑβδόμων ἀριθμῶν. ἐπεὶ οὖν ἐδείχθη ἁ τοῦ κόσμου διάμετρος ἐλάσσων ἐοῦσα σταδίων μυριάκις μυριάδων ϱ̅, δῆλον, ὅτι καὶ τοῦ ψάμμου τὸ πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τῷ κόσμῳ ἔλασσόν ἐστιν ἢ ,α̅ μονάδες τῶν ἑβδόμων ἀριθμῶν. ὅτι μὲν οὖν τὸ τοῦ ψάμμου πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τῷ ὑπὸ τῶν πλείστων ἀστρολόγων καλουμένῳ κόσμῳ ἔλασσόν ἐστιν ἢ ,α̅ μονάδες τῶν ἑβδόμων ἀριθμῶν, δέ-
H 256 δεικται· ὅτι δὲ καὶ τὸ πλῆθος τοῦ ψάμμου τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ σφαίρᾳ ταλικαύτᾳ, ἁλίκαν Ἀρίσταρχος ὑποτίθεται τὰν τῶν ἀπλανέων ἄστρων σφαῖραν εἶμεν, ἔλασσόν ἐστιν
17 ἢ ,α̅ μυριάδες τῶν ὀγδόων ἀριθμῶν, δειχθήσεται. ἐπεὶ γὰρ ὑπόκειται, τὰν γᾶν τὸν αὐτὸν ἔχειν λόγον ποτὶ τὸν ὑφ' ἁμῶν εἰρημένον κόσμον, ὃν ἔχει λόγον ὁ εἰρημένος κόσμος ποτὶ τὰν τῶν ἀπλανέων ἄστρων σφαῖραν, ἃν Ἀρίσταρχος ὑποτίθεται, καὶ αἱ διαμέτροι τᾶν σφαιρᾶν τὸν αὐτὸν ἔχοντι λόγον ποτ' ἀλλάλας. ἁ δὲ τοῦ κόσμου διάμετρος τᾶς διαμέτρου τᾶς γᾶς δέδεικται ἐλάσσων ἐοῦσα ἢ μυριοπλασίων· δῆλον οὖν, ὅτι καὶ ἁ διάμετρος τᾶς τῶν ἀπλανέων ἄστρων σφαίρας ἐλάσσων
18 ἐστὶν ἢ μυριοπλασίων τᾶς διαμέτρου τοῦ κόσμου. ἐπεὶ δὲ αἱ σφαῖραι τριπλάσιον λόγον ἔχοντι ποτ' ἀλλάλας τᾶν διαμέτρων, φανερόν, ὅτι ἁ τῶν ἀπλανέων ἄστρων σφαῖρα, ἃν Ἀρίσταρχος

μυριάδες τῶν ἕκτων ἀριθμῶν εἶναι ὁ τεσσαρακοστὸς ἕκτος ὅρος ἀπὸ τῆς μονάδος τῆς γεωμετρικῆς προόδου μὲ πρῶτον ὅρον τὴν μονάδα, αἱ δὲ 100 μυριάδες εἶναι ὁ ἕβδομος ὅρος ἀπὸ τῆς μονάδος τῆς αὐτῆς προόδου, εἶναι φανερόν, ὅτι ὁ προκύπτων ἀριθμὸς θὰ εἶναι ὁ πεντηκοστὸς δεύτερος ὅρος ἀπὸ τῆς μονάδος τῆς αὐτῆς προόδου. Ἐκ τῶν 52 δὲ τούτων ὅρων οἱ μὲν τεσσαράκοντα ὀκτὼ σὺν τὴν μονάδα εἶναι οἱ κατὰ σειρὰν καλούμενοι πρῶτοι καὶ δεύτεροι καὶ τρίτοι καὶ τέταρτοι καὶ πέμπτοι καὶ ἕκτοι, οἱ δὲ ἄλλοι τέσσαρες εἶναι ἐκ τῶν καλουμένων ἑβδόμων, καὶ ὁ τελευταῖος ἐξ αὐτῶν εἶναι 1000 μονάδες τῶν ἑβδόμων ἀριθμῶν. Εἶναι λοιπὸν φανερόν, ὅτι τὸ πλῆθος τῆς ἄμμου τὸ ἔχον μέγεθος ἴσον πρὸς σφαῖραν ἔχουσαν τὴν διάμετρον σταδίων 100 μυριάδων μυριάκις εἶναι μικρότερον τῶν 1000 μονάδων τῶν ἑβδόμων ἀριθμῶν. Ἐπειδὴ λοιπὸν ἐδείχθη ὅτι ἡ διάμετρος τοῦ κόσμου εἶναι μικροτέρα σταδίων 100 μυριάδων μυριάκις, εἶναι φανερόν, ὅτι καὶ τὸ πλῆθος τῆς ἄμμου τὸ ἔχον μέγεθος ἴσον πρὸς τὸ μέγεθος τοῦ κόσμου εἶναι μικρότερον τῶν χιλίων μονάδων τῶν ἑβδόμων ἀριθμῶν. Ὅτι μὲν λοιπὸν τὸ πλῆθος τῆς ἄμμου τὸ ἔχον μέγεθος ἴσον πρὸς τὸν κόσμον τὸν ὁριζόμενον ὑπὸ τῶν πλείστων ἀστρονόμων εἶναι μικρότερον τῶν 1000 μονάδων τῶν ἑβδόμων ἀριθμῶν, ἀπεδείχθη· ὅτι δὲ καὶ τὸ πλῆθος τῆς ἄμμου τὸ ἔχον μέγεθος ἴσον πρὸς τὴν σφαῖραν πρὸς τὸ μέγεθος τῆς ὁποίας ὁ Ἀρίσταρχος ὑποθέτει, ὅτι εἶναι ἴσον τὸ μέγεθος τῆς σφαίρας τῶν ἀπλανῶν ἄστρων, εἶναι μικρότερον τῶν 1000 μυριάδων τῶν ὀγδόων ἀριθμῶν θὰ ἀποδειχθῇ κατωτέρω. Διότι ἐπειδὴ ἔχει ὑποτεθῇ, ὅτι ἡ γῆ πρὸς τὸν ὑφ' ἡμῶν εἰρημένον κόσμον ἔχει τὸν αὐτὸν λόγον, ὃν ἔχει ὁ εἰρημένος κόσμος πρὸς τὴν σφαῖραν τῶν ἀπλανῶν, τὴν ὁποίαν ὑποθέτει ὁ Ἀρίσταρχος, καὶ αἱ διάμετροι τῶν σφαιρῶν ἔχουσι τὸν αὐτὸν λόγον πρὸς ἀλλήλας. Ἡ δὲ διάμετρος τοῦ κόσμου ἀπεδείχθη, ὅτι εἶναι μικροτέρα τῶν 10.000 διαμέτρων τῆς γῆς· εἶναι λοιπὸν φανερόν, ὅτι καὶ ἡ διάμετρος τῆς σφαίρας τῶν ἀπλανῶν εἶναι μικροτέρα τῶν 10.000 διαμέτρων τοῦ κόσμου. Ἐπειδὴ δὲ αἱ σφαῖραι ἔχουσι πρὸς ἀλλήλας λόγον ἴσον πρὸς τὸν λόγον τῶν κύβων τῶν διαμέτρων, εἶναι φανερόν, ὅτι ἡ σφαῖρα τῶν ἀπλανῶν,

ὑποτίθεται, ἐλάττων ἐστὶν ἢ μυριάκις μυρίαις μυριάδεσσι
πολλαπλασίων τοῦ κόσμου. δέδεικται δέ, ὅτι τὸ τοῦ ψάμμου
πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τῷ κόσμῳ ἔλασσόν ἐστιν
ἢ ,α̅ μονάδες τῶν ἑβδόμων ἀριθμῶν· δῆλον οὖν, ὅτι, εἰ γένοιτο
ἐκ τοῦ ψάμμου σφαῖρα ταλικαύτα τὸ μέγεθος, άλίκαν δ' Ἀρί-
σταρχος ὑποτίθεται τὰν τῶν ἀπλανέων ἄστρων σφαῖραν εἶ-
μεν, ἐλάσσων ἐσσεῖται ὁ τοῦ ψάμμου ἀριθμὸς τοῦ γενομένου
ἀριθμοῦ πολλαπλασιασθεισᾶν τᾶν χιλιᾶν μονάδων ταῖς μυριά-
19 *κις μυρίαις μυριάδεσσιν. καὶ ἐπεὶ αἱ μὲν τῶν ἑβδόμων ,α̅ μο-*
νάδες δυοκαιπεντακοστός ἐστιν ἀπὸ μονάδος ἀνάλογον, αἱ δὲ
μυριάκις μύριαι μυριάδες τρισκαιδέκατος ἀπὸ μονάδος ἐκ
τᾶς αὐτᾶς ἀναλογίας, δῆλον, ὅτι ὁ γενόμενος ἐσσεῖται τέταρ-
τος καὶ ἑξηκοστὸς ἀπὸ μονάδος ἐκ τᾶς αὐτᾶς ἀναλογίας· οὗτος
H 258 *δέ ἐστι τῶν ὀγδόων ὄγδοος, ὅς κα εἴη χίλιαι μυριάδες τῶν*
ὀγδόων ἀριθμῶν. φανερὸν τοίνυν, ὅτι τοῦ ψάμμου τὸ πλῆθος
τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ τῶν ἀπλανέων ἄστρων σφαίρᾳ,
ἂν 'Αρίσταρχος ὑποτίθεται, ἔλασσόν ἐστιν ἢ ,α̅ μυριάδες τῶν
20 *ὀγδόων ἀριθμῶν. ταῦτα δέ, βασιλεῦ Γέλων, τοῖς μὲν πολλοῖς*
καὶ μὴ κεκοινωνηκότεσσι τῶν μαθημάτων οὐκ εὔπιστα φα-
νήσειν ὑπολαμβάνω, τοῖς δὲ μεταλελαβηκότεσσιν καὶ περὶ τῶν
ἀποστημάτων καὶ τῶν μεγεθέων τᾶς τε γᾶς καὶ τοῦ ἀλίου
καὶ τᾶς σελήνας καὶ τοῦ ὅλου κόσμου πεφροντικότεσσιν πιστὰ
διὰ τὰν ἀπόδειξιν ἐσσεῖσθαι· διόπερ ᾠήθην καὶ τὶν οὐκ ἀ-
νάρμοστον εἶμεν [ἔτι] ἐπιθεωρῆσαι ταῦτα.

τὴν ὁποίαν ὑποθέτει ὁ Ἀρίσταρχος, εἶναι μικροτέρα τῆς σφαίρας τοῦ κόσμου κατὰ 10.000 × 10.000 × 10.000. Ἀπεδείχθη δέ, ὅτι τὸ πλῆθος τῆς ἄμμου τὸ ἔχον μέγεθος ἴσον πρὸς τὸν κόσμον εἶναι μικρότερον τῶν 1000 μονάδων τῶν ἑβδόμων ἀριθμῶν· εἶναι λοιπὸν φανερόν, ὅτι ἐὰν ἤθελε γίνει ἐκ τῆς ἄμμου σφαῖρα μὲ τόσον μέγεθος, ὅσον ὑποθέτει ὁ Ἀρίσταρχος τὴν σφαῖραν τῶν ἀπλανῶν, ὁ ἀριθμὸς τοῦ πλήθους τῆς ἄμμου θὰ εἶναι μικρότερος τοῦ προκύπτοντος ἀριθμοῦ ἐκ τοῦ πολλαπλασιασμοῦ τῶν 1000 μονάδων ἐπὶ 10.000 × × 10.000 × 10.000. Καὶ ἐπειδὴ αἱ μὲν 1000 μονάδες τῶν ἑβδόμων ἀριθμῶν εἶναι ὁ πεντηκοστὸς δεύτερος ὅρος ἀπὸ τῆς μονάδος τῆς γεωμετρικῆς προόδου μὲ πρῶτον ὅρον τὴν μονάδα, τὸ δὲ ἓν τρισεκατομμύριον εἶναι ὁ δέκατος τρίτος ὅρος ἀπὸ τῆς μονάδος τῆς αὐτῆς προόδου, εἶναι φανερόν, ὅτι ὁ προκύπτων ἀριθμὸς θὰ εἶναι ὁ ἑξηκοστὸς τέταρτος ($1, 10, 10^2, 10^3 \ldots\ldots 10^{63}$) ἀπὸ τῆς μονάδος τῆς αὐτῆς προόδου· οὗτος δὲ εἶναι ὄγδοος τῶν ὀγδόων ἀριθμῶν, ὅστις εἶναι 1000 μυριάδες τῶν ὀγδόων ἀριθμῶν. Εἶναι λοιπὸν φανερόν, ὅτι τὸ πλῆθος τῆς ἄμμου τὸ ἔχον μέγεθος ἴσον πρὸς τὴν σφαῖραν τῶν ἀπλανῶν ἄστρων, τὴν ὁποίαν ὑποθέτει ὁ Ἀρίσταρχος, εἶναι μικρότερον τῶν 1000 μυριάδων τῶν ὀγδόων ἀριθμῶν. Ταῦτα δέ, ὦ βασιλεῦ Γέλων, νομίζω ὅτι εἰς μὲν τοὺς μὴ γνωρίζοντας μαθηματικὰ δὲν θὰ γίνουν πιστευτά, εἰς δὲ τοὺς γνωρίζοντας καὶ τοὺς ἐνδιαφερθέντας νὰ μάθωσι περὶ τῶν ἀποστάσεων καὶ τῶν μεγεθῶν καὶ τῆς γῆς καὶ τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ ὅλου τοῦ κόσμου θὰ εἶναι πιστευτὰ ἕνεκα τῆς ἀποδείξεως· δι' αὐτὸ ἐνόμισα, ὅτι δὲν εἶναι ἀνάρμοστον νὰ τὰ ἐρευνήσῃ κανεὶς αὐτά.

ΤΕΤΡΑΓΩΝΙΣΜΟΣ ΟΡΘΟΓΩΝΙΟΥ ΚΩΝΟΥ ΤΟΜΗΣ (ΠΑΡΑΒΟΛΗΣ)

Τετραγωνισμὸς ὀρθογωνίου κώνου τομῆς (παραβολῆς)

Ἀρχιμήδης Δοσιθέῳ εὖ πράττειν

Ἀκούσας Κόνωνα μὲν τετελευτηκέναι, ὃς ἦν οὐδὲν ἐπιλείπων ἁμῖν ἐν φιλίᾳ, τὶν δὲ Κόνωνος γνώριμον γεγενῆσθαι καὶ γεωμετρίας οἰκεῖον εἶμεν τοῦ μὲν τετελευτηκότος εἵνεκεν ἐλυπήθημες ὡς καὶ φίλου τοῦ ἀνδρὸς γεναμένου καὶ ἐν τοῖς μαθημάτεσσι θαυμαστοῦ τινος, ἐπροχειριξάμεθα δὲ ἀποστεῖλαι τοι γράψαντες, ὡς Κόνωνι γράφειν ἐγνωκότες ἦμες, γεωμετρικῶν θεωρημάτων, ὃ πρότερον μὲν οὐκ ἦν τεθεωρημένον, νῦν δὲ ὑφ' ἁμῶν τεθεώρηται, πρότερον μὲν διὰ μηχανικῶν εὑρεθέν, ἔπειτα δὲ καὶ διὰ τῶν γεωμετρικῶν ἐπιδειχθέν. τῶν μὲν οὖν πρότερον περὶ γεωμετρίαν πραγματευθέντων ἐπεχείρησάν τινες γράφειν ὡς δυνατὸν ἐὸν κύκλῳ τῷ δοθέντι καὶ κύκλου τμάματι τῷ δοθέντι χωρίον εὑρεῖν εὐθύγραμμον ἴσον, καὶ μετὰ ταῦτα τὸ περιεχόμενον χωρίον ὑπό τε τᾶς ὅλου τοῦ κώνου τομᾶς καὶ εὐθείας τετραγωνίζειν ἐπειρῶντο λαμβάνοντες οὐκ εὐπαραχώρητα λήμματα, διόπερ αὐτοῖς ὑπὸ τῶν
H 264 πλείστων οὐχ εὑρισκόμενα ταῦτα κατεγνώσθεν. τὸ δὲ ὑπ' εὐθείας τε καὶ ὀρθογωνίου κώνου τομᾶς τμᾶμα περιεχόμενον οὐδένα τῶν προτέρων ἐγχειρήσαντα τετραγωνίζειν ἐπιστάμεθα, ὃ δὴ νῦν ὑφ' ἁμῶν εὕρηται· δείκνυται γάρ, ὅτι πᾶν τμᾶμα περιεχόμενον ὑπὸ εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς ἐπίτριτόν ἐστι τοῦ τριγώνου τοῦ βάσιν ἔχοντος τὰν αὐτὰν

Τετραγωνισμὸς ὀρθογωνίου κώνου τομῆς
(παραβολῆς)

Ἀρχιμήδης Δοσιθέῳ εὖ πράττειν

Ἀκούσας ὅτι ὁ Κόνων μὲν ἀπέθανε, ὁ ὁποῖος ἦτο πολὺ φίλος μου, σὺ δὲ ὅτι εἶσαι γνωστός του καὶ περὶ τὴν γεωμετρίαν ἱκανὸς διὰ μὲν τὸν ἀποθανόντα ἐλυπήθημεν πολὺ καὶ ὡς φίλον καὶ ὡς θαυμάσιον μαθηματικόν, προήλθομεν δὲ εἰς τὴν ἀπόφασιν νὰ ἀποστείλωμεν εἰς σὲ τὰς ἐρεύνας μας, ὡς τοῦτο ἐπράττομεν διὰ τὸν Κόνωνα, ἐκ τῶν γεωμετρικῶν θεωρημάτων, κάτι τὸ ὁποῖον προηγουμένως δὲν εἶχεν ἐρευνηθῆ, τώρα δὲ εὑρέθη παρ' ἡμῶν, πρῶτον μὲν διὰ μεθόδων τῆς μηχανικῆς, ἔπειτα δὲ ἀπεδείχθη γεωμετρικῶς. Ἐξ ἐκείνων μὲν οἱ ὁποῖοι προηγουμένως ἠσχολήθησαν μὲ τὴν γεωμετρίαν ἐπεχείρησαν μερικοὶ νὰ ἀποδείξωσιν, ὅτι εἶναι δυνατὸν εἰς δοθέντα κύκλον καὶ εἰς δοθὲν τμῆμα κύκλου νὰ εὑρεθῇ ἴσον εὐθύγραμμον χωρίον, καὶ κατόπιν προσεπάθησαν νὰ τετραγωνίσωσι τὸ χωρίον τὸ περιεχόμενον ὑπὸ εὐθείας καὶ τμήματος ἐλλείψεως χρησιμοποιοῦντες οὐχὶ εὐκόλως ἀποδεχόμενα λήμματα, ἕνεκα τοῦ ὁποίου οἱ περισσότεροι δὲν παρεδέχοντο, ὅτι ταῦτα ἐλύθησαν. Διὰ δὲ τὸ τμῆμα τὸ περιεχόμενον ὑπὸ εὐθείας καὶ παραβολῆς δὲν γνωρίζομεν νὰ ηὗρε κανεὶς τὸν τετραγωνισμὸν ἐξ ἐκείνων οἱ ὁποῖοι πρὸ ἡμῶν ἐπεχείρησαν αὐτό, ὅπερ εὑρέθη τώρα παρ' ἡμῶν· διότι ἀποδεικνύεται, ὅτι πᾶν τμῆμα περιεχόμενον ὑπὸ εὐθείας καὶ παραβολῆς εἶναι τὰ τέσσαρα τρίτα τοῦ τριγώνου τοῦ ἔχοντος βάσιν τὴν αὐτὴν καὶ ὕψος ἴσον πρὸς τὸ τμῆμα

καὶ ὕψος ἴσον τῷ τμάματι λαμβανομένου τοῦδε τοῦ λήμματος ἐς τὰν ἀπόδειξιν αὐτοῦ· τῶν ἀνίσων χωρίων τὰν ὑπεροχάν, ᾇ ὑπερέχει τὸ μεῖζον τοῦ ἐλάσσονος, δυνατὸν εἶμεν αὐτὰν ἑαυτᾷ συντιθεμέναν παντὸς ὑπερέχειν τοῦ προτεθέντος πεπερασμένου χωρίου. κέχρηνται δὲ καὶ οἱ πρότερον γεωμέτραι τῷδε τῷ λήμματι· τούς τε γὰρ κύκλους διπλασίονα λόγον ἔχειν ποτ' ἀλλάλους τᾶν διαμέτρων ἀποδεδείχασιν αὐτῷ τούτῳ τῷ λήμματι χρωμένοι, καὶ τὰς σφαίρας ὅτι τριπλασίονα λόγον ἔχοντι ποτ' ἀλλάλας τᾶν διαμέτρων, ἔτι δὲ καὶ ὅτι πᾶσα πυραμὶς τρίτον μέρος ἐστὶ τοῦ πρίσματος τοῦ τὰν αὐτὰν βάσιν ἔχοντος τᾷ πυραμίδι καὶ ὕψος ἴσον· καὶ διότι πᾶς κῶνος τρίτον μέρος ἐστὶ τοῦ κυλίνδρου τοῦ τὰν αὐτὰν βάσιν ἔχοντος τῷ κώνῳ καὶ ὕψος ἴσον, ὁμοῖον τῷ προειρημένῳ λῆμμά τι λαμβάνοντες ἔγραφον. συμβαίνει δὲ τῶν προειρημένων θεωρημάτων ἕκαστον μηδενὸς ἧσσον τῶν ἄνευ τούτου τοῦ λήμματος ἀποδεδειγμένων πεπιστευκέναι· ἀρκεῖ δὲ ἐς τὰν ὁμοίαν πίστιν τούτοις ἀναγμένων τῶν ὑφ' ἁμῶν ἐκδιδομένων. ἀνα-
H 266 *γράψαντες οὖν αὐτοῦ τὰς ἀποδείξιας ἀποστέλλομες πρῶτον μέν, ὡς διὰ τῶν μηχανικῶν ἐθεωρήθη, μετὰ ταῦτα δὲ καί, ὡς διὰ τῶν γεωμετρουμένων ἀποδείκνυται. προγράφεται δὲ καὶ στοιχεῖα κωνικὰ χρείαν ἔχοντα ἐς τὰν ἀπόδειξιν. ἔρρωσο.*

α'

Εἴ κα ᾖ ὀρθογωνίου κώνου τομά, ἐφ' ἇς ἁ ΑΒΓ, ἁ δὲ ΒΔ παρὰ τὰν διάμετρον ἢ αὐτὰ διάμετρος, ἁ δὲ ΑΓ παρὰ τὰν κατὰ τὸ Β ἐπιψαύουσαν τᾶς τοῦ κώνου τομᾶς, ἴσα ἐσσεῖται ἁ ΑΔ τᾷ ΔΓ· κἂν ἴσα ᾖ ἁ ΑΔ τᾷ ΔΓ, παραλλήλοι ἐσσοῦνται ἅ τε ΑΓ καὶ ἁ κατὰ τὸ Β ἐπιψαύουσα τᾶς τοῦ κώνου τομᾶς.



χρησιμοποιουμένου τοῦ ἑξῆς λήμματος εἰς τὴν ἀπόδειξιν αὐτοῦ· ἐκ τῶν ἀνίσων χωρίων ἡ ὑπεροχή, καθ' ἣν ὑπερέχει τὸ μεγαλύτερον τοῦ μικροτέρου εἶναι δυνατὸν λαμβανομένη πολλὰς φορὰς νὰ ὑπερβῇ τὸ δοθὲν πεπερασμένον χωρίον. Χρησιμοποιοῦν δὲ καὶ οἱ προηγούμενοι γεωμέτραι αὐτὸ τὸ λῆμμα· διότι δι' αὐτοῦ ἀπέδειξαν, ὅτι οἱ κύκλοι ἔχουσι πρὸς ἀλλήλους λόγον ὃν ἔχουσι τὰ τετράγωνα τῶν διαμέτρων, καὶ ὅτι αἱ σφαῖραι ἔχουσι πρὸς ἀλλήλας λόγον, ὃν ἔχουσιν οἱ κύβοι τῶν διαμέτρων, προσέτι δὲ καὶ ὅτι πᾶσα πυραμὶς εἶναι τὸ τρίτον μέρος τοῦ πρίσματος τοῦ ἔχοντος τὴν αὐτὴν βάσιν πρὸς τὴν πυραμίδα καὶ ὕψος ἴσον· καὶ διότι λαμβάνοντες ὅμοιον πρὸς τὸ προηγούμενον λῆμμα ἀπεδείκνυον, ὅτι πᾶς κῶνος εἶναι τὸ τρίτον μέρος τοῦ κυλίνδρου τοῦ ἔχοντος τὴν αὐτὴν βάσιν πρὸς τὸν κῶνον καὶ ὕψος ἴσον. Πιστεύεται δέ, ὅτι ἕκαστον ἐκ τῶν προειρημένων θεωρημάτων δὲν εἶναι κατώτερον ἐκείνων τὰ ὁποῖα ἔχουσιν ἀποδειχθῇ ἄνευ τοῦ λήμματος τούτου· μοῦ εἶναι δὲ ἀρκετόν, ἐὰν τὰ ὑπ' ἐμοῦ εὑρεθέντα θεωρήματα ἔχωσι τὸν αὐτὸν βαθμὸν ἀληθείας. Ἀναγράψαντες λοιπὸν τοῦ προβλήματος αὐτοῦ τὰς ἀποδείξεις τὰς ἀποστέλλομεν, πρῶτον μὲν τὰς διὰ τῶν μηχανικῶν μεθόδων, κατόπιν δὲ πῶς ἔγινεν ἡ ἀπόδειξις διὰ τῶν γεωμετρικῶν μεθόδων. Προτάσσονται δὲ καὶ στοιχεῖά τινα περὶ κωνικῶν τομῶν χρήσιμα διὰ τὴν ἀπόδειξιν. Ἔρρωσο.

1

Ἐὰν ὑπάρχῃ παραβολή, ἐπὶ τῆς ὁποίας ἡ καμπύλη ΑΒΓ, ἡ δὲ ΒΔ εἶναι παράλληλος πρὸς τὴν διάμετρον τῆς παραβολῆς ἢ αὐτὴ ἡ ἰδία εἶναι διάμετρος, ἡ δὲ ΑΓ εἶναι παράλληλος πρὸς τὴν κατὰ τὸ Β ἐφαπτομένην τῆς παραβολῆς, θὰ εἶναι ἡ ΑΔ ἴση πρὸς τὴν ΔΓ· καὶ ἂν ἡ ΑΔ εἶναι ἴση πρὸς τὴν ΔΓ, θὰ εἶναι παράλληλοι καὶ ἡ ΑΓ καὶ ἡ κατὰ τὸ Β ἐφαπτομένη τῆς παραβολῆς.

β′

Εἴ κα ᾖ ὀρθογωνίου κώνου τομὰ ἁ ΑΒΓ, ᾖ δὲ ἁ μὲν ΒΔ παρὰ τὰν διάμετρον ἢ αὐτὰ διάμετρος, ἁ δὲ ΑΔΓ παρὰ τὰν κατὰ τὸ Β ἐπιψαύουσαν τᾶς τοῦ κώνου τομᾶς, ἁ δὲ ΕΓ τᾶς τοῦ κώνου τομᾶς ἐπιψαύουσα κατὰ τὸ Γ, ἐσσοῦνται αἱ ΒΔ, ΒΕ ἴσαι.

γ′



Εἴ κα ᾖ ὀρθογωνίου κώνου τομὰ ἁ ΑΒΓ, ἁ δὲ ΒΔ παρὰ τὰν διάμετρον ἢ αὐτὰ διάμετρος, καὶ ἀχθέωντί τινες αἱ ΑΔ, ΕΖ παρὰ τὰν κατὰ τὸ Β ἐπι-
H 268 *ψαύουσαν τᾶς τοῦ κώνου τομᾶς, ἐσσεῖται, ὡς ἁ ΒΔ ποτὶ τὰν ΒΖ, δυνάμει ἁ ΑΔ ποτὶ τὰν ΕΖ.*

ἀποδέδεικται δὲ ταῦτα ἐν τοῖς κωνικοῖς στοιχείοις.

δ′

Ἔστω τμᾶμα περιεχόμενον ὑπὸ εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς τὸ ΑΒΓ, ἁ δὲ ΒΔ ἀπὸ μέσας τᾶς ΑΓ παρὰ τὰν διάμετρον ἄχθω ἢ αὐτὰ διάμετρος ἔστω, καὶ ἁ ΒΓ εὐθεῖα ἐπιζευχθεῖσα ἐκβεβλήσθω. εἰ δή κα ἀχθῇ τις ἄλλα ἁ ΖΘ παρὰ τὰν ΒΔ τέμνουσα τὰν διὰ τῶν Β, Γ εὐθεῖαν, τὸν αὐτὸν ἕξει λόγον ἁ ΖΘ ποτὶ τὰν ΘΗ, ὃν ἁ ΔΑ ποτὶ τὰν ΔΖ.

ἄχθω γὰρ διὰ τοῦ Η παρὰ τὰν ΑΓ ἁ ΚΗ· ἔστιν ἄρα, ὡς ἁ ΒΔ ποτὶ τὰν ΒΚ μάκει, οὕτως ἁ ΔΓ ποτὶ τὰν ΚΗ δυνάμει· ἀποδέδεικται γὰρ τοῦτο. ἐσσεῖται ἄρα, ὡς ἁ ΒΓ ποτὶ τὰν ΒΙ μάκει, οὕτως ἁ ΒΓ ποτὶ τὰν ΒΘ δυνάμει· ἴσαι γὰρ αἱ ΔΖ, ΚΗ· ἀνάλογον ἄρα ἐντὶ αἱ ΒΓ, ΒΘ, ΒΙ γραμμαί. ὥστε τὸν αὐτὸν

2

Ἐὰν ὑπάρχῃ ἡ παραβολὴ ΑΒΓ, εἶναι δὲ ἡ μὲν ΒΔ παράλληλος πρὸς τὴν διάμετρον ἢ αὐτὴ ἡ ἰδία εἶναι διάμετρος, ἡ δὲ ΑΔΓ εἶναι παράλληλος πρὸς τὴν κατὰ τὸ Β ἐφαπτομένην τῆς παραβολῆς, ἡ δὲ ΕΓ εἶναι ἐφαπτομένη τῆς παραβολῆς κατὰ τὸ Γ, θὰ εἶναι ἴσαι αἱ ΒΔ, ΒΕ.



3

Ἐὰν ὑπάρχῃ ἡ παραβολὴ ΑΒΓ, ἡ δὲ ΒΔ εἶναι παράλληλος πρὸς τὴν διάμετρον ἢ αὐτὴ ἡ ἰδία εἶναι διάμετρος, καὶ ἀχθῶσιν, αἱ ΑΔ, ΕΖ παράλληλοι πρὸς τὴν κατὰ τὸ Β ἐφαπτομένην τῆς παραβολῆς, θὰ εἶναι ΒΔ : ΒΖ $=$ ΑΔ^2 : ΕΖ^2.

Ταῦτα δὲ ἔχουσιν ἀποδειχθῆ εἰς τὰ Στοιχεῖα τῶν Κωνικῶν.

4

Ἔστω τμῆμα περιεχόμενον ὑπὸ εὐθείας καὶ παραβολῆς τὸ ΑΒΓ, ἡ δὲ ΒΔ ἐκ τοῦ μέσου τῆς ΑΓ ἂς ἀχθῇ παράλληλος πρὸς τὴν διάμετρον ἢ ἡ ἰδία νὰ εἶναι διάμετρος, καὶ ἀφοῦ ἀχθῇ ἡ εὐθεῖα ΒΓ ἂς προεκβληθῇ. Ἐὰν κατόπιν ἀχθῇ ἄλλη τις εὐθεῖα ἡ ΖΘ παράλληλος πρὸς τὴν ΒΔ τέμνουσα τὴν εὐθεῖαν τὴν διερχομένην διὰ τῶν Β, Γ, θὰ εἶναι ΖΘ : ΘΗ $=$ ΔΑ : ΔΖ.

Διότι ἂς ἀχθῇ διὰ τοῦ Η ἡ ΚΗ παράλληλος πρὸς τὴν ΑΓ· εἶναι ἄρα ὡς ἡ ΒΔ : ΒΚ $=$ ΔΓ^2 : ΚΗ^2· διότι τοῦτο ἔχει ἀποδειχθῆ (θ. 3).Θὰ εἶναι ἄρα, ὡς ἡ ΒΓ : ΒΙ $=$ ΒΓ^2 : ΒΘ^2· διότι εἶναι ΔΖ $=$ ΚΗ· εἶναι ἄρα εἰς (συνεχῆ) ἀναλογίαν αἱ γραμμαὶ ΒΓ, ΒΘ, ΒΙ

ἔχει λόγον ἁ ΒΓ ποτὶ τὰν ΒΘ, ὃν ἁ ΓΘ ποτὶ τὰν ΘΙ· ἔστιν
H 270 ἄρα, ὡς ἁ ΓΔ ποτὶ τὰν ΔΖ, οὕτως ἁ ΘΖ ποτὶ τὰν ΘΗ. τᾷ δὲ ΔΓ ἴσα ἐστὶν ἁ ΔΑ· δῆλον οὖν, ὅτι τὸν αὐτὸν ἔχει λόγον ἁ ΔΑ ποτὶ τὰν ΔΖ, ὃν ἁ ΖΘ ποτὶ τὰν ΘΗ.

ε′

Ἔστω τμᾶμα περιεχόμενον ὑπὸ εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς τὸ ΑΒΓ, καὶ ἄχθω ἀπὸ τοῦ Α παρὰ τὰν διάμετρον ἁ ΖΑ, ἀπὸ δὲ τοῦ Γ ἐπιψαύουσα τᾶς τοῦ κώνου τομᾶς κατὰ τὸ Γ ἁ ΓΖ. εἰ δή τις ἀχθείη ἐν τῷ ΖΑΓ τριγώνῳ παρὰ τὰν ΑΖ, τὸν αὐτὸν λόγον ἁ ἀχθεῖσα τετμήσεται ὑπὸ τᾶς τοῦ ὀρθογωνίου κώνου τομᾶς καὶ ἁ ΑΓ ὑπὸ τᾶς ἀχθείσας [ἀνάλογον], ὁμόλογον δὲ ἐσσεῖται τὸ τμᾶμα τᾶς ΑΓ τὸ ποτὶ τῷ Α τῷ τμάματι τᾶς ἀχθείσας τῷ ποτὶ τῷ Α.



ἄχθω γάρ τις ἁ ΔΕ παρὰ τὰν ΑΖ, καὶ τεμνέτω πρῶτον ἁ ΔΕ τὰν ΑΓ δίχα. ἐπεὶ οὖν ἐστιν ὀρθογωνίου κώνου τομὰ ἁ ΑΒΓ καὶ ἀγμένα ἁ ΒΔ παρὰ τὰν διάμετρον, αἱ δὲ ΑΔ, ΔΓ ἴσαι, ἐσσεῖται τᾷ ΑΓ παράλληλος ἁ κατὰ τὸ Β ἐπιψαύουσα τᾶς τοῦ ὀρθογωνίου κώνου τομᾶς. πάλιν, ἐπεὶ παρὰ τὰν διάμετρόν ἐστιν ἁ ΔΕ, καὶ ἀπὸ τοῦ Γ ἁ ΓΕ ἆκται ἐπιψαύουσα τᾶς τοῦ ὀρθογωνίου κώνου τομᾶς κατὰ τὸ Γ, ἁ δὲ ΔΓ παράλ-

(Εὐκλ. V, ὁρισμ. 9). Ὥστε θὰ εἶναι ΒΓ : ΒΘ = ΓΘ : ΘΙ· εἶναι

1



2



ἄρα ΓΔ : ΔΖ = ΘΖ : ΘΗ. Εἶναι δὲ ΔΓ = ΔΑ· εἶναι λοιπὸν φανερόν, ὅτι ΔΑ : ΔΖ = ΖΘ : ΘΗ.

5

Ἔστω τμῆμα περιεχόμενον ὑπὸ εὐθείας καὶ παραβολῆς τὸ ΑΒΓ, καὶ ἂς ἀχθῇ ἀπὸ τοῦ Α παράλληλος πρὸς τὴν διάμετρον ἡ ΖΑ, ἀπὸ δὲ τοῦ Γ ἐφαπτομένη τῆς παραβολῆς κατὰ τὸ Γ ἡ ΓΖ. Ἐὰν κατόπιν ἀχθῇ εἰς τὸ τρίγωνον ΖΑΓ παράλληλος πρὸς τὴν ΑΖ, ἡ ἀχθεῖσα θὰ τμηθῇ ὑπὸ τῆς παραβολῆς εἰς τὸν αὐτὸν λόγον καὶ ἡ ΑΓ ὑπὸ τῆς ἀχθείσης, θὰ εἶναι δὲ ὁμόλογον τὸ τμῆμα τῆς ΑΓ πρὸς τὸ Α, πρὸς τὸ τμῆμα τῆς ἀχθείσης τὸ πρὸς τὸ Α.

Διότι ἂς ἀχθῇ εὐθεῖά τις ἡ ΔΕ παράλληλος πρὸς τὴν ΑΖ καὶ ἂς τμήσῃ πρῶτον ἡ ΔΕ τὴν ΑΓ εἰς τὸ μέσον. Ἐπειδὴ λοιπὸν ὑπάρχει ἡ παραβολὴ ΑΒΓ καὶ ἔχει ἀχθῇ ἡ ΒΔ παράλληλος πρὸς τὴν διάμετρον, εἶναι δὲ ΑΔ = ΔΓ, θὰ εἶναι ἡ ἐφαπτομένη τῆς παραβολῆς κατὰ τὸ Β παράλληλος πρὸς τὴν ΑΓ (θ. 1). Πάλιν, ἐπειδὴ ἡ ΔΕ εἶναι παράλληλος πρὸς τὴν διάμετρον καὶ ἀπὸ τοῦ Γ ἔχει ἀχθῇ ἡ ΓΕ ἐφαπτομένη τῆς παραβολῆς κατὰ τὸ Γ, ἡ δὲ ΔΓ εἶναι παράλλη-

ληλος τᾷ κατὰ τὸ Β ἐπιψαυούσᾳ, ἴσα ἐστὶν ἁ ΕΒ τᾷ ΒΔ· ὥστε τὸν αὐτὸν ἔχει λόγον ἁ ΑΔ ποτὶ τὰν ΔΓ, ὃν ἁ ΔΒ ποτὶ τὰν ΒΕ. εἰ μὲν οὖν δίχα τέμνει ἁ ἀχθεῖσα τὰν ΑΓ, δέδεικται· εἰ δὲ H 272 *μή, ἄχθω τις ἄλλα ἁ ΚΛ παρὰ τὰν ΑΖ· δεικτέον οὖν, ὅτι τὸν αὐτὸν ἔχει λόγον ἁ ΑΚ ποτὶ τὰν ΚΓ, ὃν ἁ ΚΘ ποτὶ τὰν ΘΛ. ἐπεὶ γὰρ ἴσα ἐστὶν ἁ ΒΕ τᾷ ΒΔ, ἴσα ἐστὶ καὶ ἁ ΙΛ τᾷ ΚΙ· τὸν αὐτὸν ἄρα λόγον ἔχει ἁ ΛΚ ποτὶ τὰν ΚΙ, ὃν ἁ ΑΓ ποτὶ τὰν ΔΑ. ἔχει δὲ καὶ ἁ ΚΙ ποτὶ τὰν ΚΘ τὸν αὐτὸν λόγον, ὃν ἁ ΔΑ ποτὶ τὰν ΑΚ· δέδεικται γὰρ ἐν τῷ πρότερον· ὥστε τὸν αὐτὸν λόγον ἔχει ἁ ΚΘ ποτὶ τὰν ΘΛ, ὃν ἁ ΑΚ ποτὶ τὰν ΚΓ. δέδεικται οὖν τὸ προτεθέν.*

ϛʹ

Νοείσθω δὲ τὸ [ὅτε ἐστὶν τὸ ἐν τᾷ θεωρίᾳ] προκείμενον [ὁρώμενον] ἐπίπεδον ὀρθὸν ποτὶ τὸν ὁρίζοντα, καὶ τᾶς ΑΒ γραμμᾶς [ἔπειτα] τὰ μὲν ἐπὶ τὰ αὐτὰ τῷ Δ κάτω νοείσθω, τὰ δὲ ἐπὶ θάτερα ἄνω, τὸ δὲ ΒΔΓ τρίγωνον ἔστω ὀρθογώνιον ὀρθὰν ἔχον τὰν ποτὶ τῷ Β γωνίαν καὶ τὰν ΒΓ πλευρὰν ἴσαν τᾷ ἡμισείᾳ τοῦ ζυγοῦ [δηλονότι ἴσης οὔσης τᾶς ΑΒ τῇ ΒΓ], κρεμάσθω δὲ τὸ τρίγωνον ἐκ τῶν Β, Γ σαμείων, κρεμάσθω δὲ καὶ ἄλλο χωρίον τὸ Ζ ἐκ τοῦ ἑτέρου μέρεος τοῦ ζυγοῦ κατὰ τὸ Α, καὶ ἰσορροπείτω τὸ Ζ χωρίον κατὰ τὸ Α κρεμάμενον τῷ ΒΔΓ τριγώνῳ οὕτως ἔχοντι, ὡς νῦν κεῖται. φαμὶ δή, τὸ Ζ χωρίον τοῦ ΒΔΓ τριγώνου μέρος τρίτον εἶμεν.

ἐπεὶ γὰρ ὑπόκειται ἰσορροπέων ὁ ζυγός, εἴη κα ἁ ΑΓ γραμμὰ παρὰ τὸν ὁρίζοντα, αἱ δὲ ποτ' ὀρθὰς ἀγόμεναι τᾷ ΑΓ H 274 *ἐν τῷ ὀρθῷ ἐπιπέδῳ ποτὶ τὸν ὁρίζοντα καθέτοι ἐσσοῦνται ἐπὶ τὸν ὁρίζοντα. τετμάσθω δὴ ἁ ΒΓ γραμμὰ κατὰ τὸ Ε οὕτως, ὥστε διπλασίονα εἶμεν τὰν ΓΕ τᾶς ΕΒ, καὶ ἄχθω παρὰ τὰν ΔΒ ἁ ΚΕ καὶ τετμάσθω δίχα κατὰ τὸ Θ· τοῦ δὴ ΒΔΓ τριγώ-*

λος πρὸς τὴν κατὰ τὸ Β ἐφαπτομένην, εἶναι ΕΒ = ΒΔ (θ. 2)· ὥστε ΑΔ : ΔΓ = ΔΒ : ΒΕ. Ἐὰν μὲν λοιπὸν ἡ ἀχθεῖσα τέμνῃ εἰς τὸ μέσον τὴν ΑΓ, ἡ πρότασις ἀπεδείχθη· ἐὰν δὲ δὲν τὴν τέμνῃ εἰς τὸ μέσον ἂς ἀχθῇ ἄλλη τις εὐθεῖα ἡ ΚΛ παράλληλος πρὸς τὴν ΑΖ· πρέπει λοιπὸν νὰ δειχθῇ, ὅτι ΑΚ : ΚΓ = ΚΘ : ΘΛ. Διότι ἐπειδὴ εἶναι ἡ ΒΕ = ΒΔ, εἶναι καὶ ἡ ΙΛ = ΚΙ· εἶναι ἄρα ὡς ἡ ΛΚ : ΚΙ = ΑΓ : ΔΑ. Εἶναι δὲ καὶ ΚΙ : ΚΘ = ΔΑ : ΑΚ· διότι τοῦτο ἀπεδείχθη προηγουμένως· ὥστε θὰ εἶναι ΚΘ : ΘΛ = ΑΚ : ΚΓ. Ἀπεδείχθη λοιπὸν τὸ προτεθέν.

6

Ἂς νοηθῇ τὸ παρατιθέμενον σχῆμα εὑρισκόμενον ἐπὶ κατακορύφου ἐπιπέδου διερχομένου διὰ τῆς εὐθείας ΑΒ, καὶ κάτω μὲν μέρος τοῦ ἐπιπέδου ἂς νοηθῇ τὸ πρὸς τὸ μέρος τοῦ Δ, ἄνω δὲ τὸ πρὸς τὸ ἄλλο μέρος, τὸ δὲ τρίγωνον ΒΔΓ ἔστω ὀρθογώνιον ἔχον ὀρθὴν γωνίαν τὴν πρὸς τὸ Β καὶ τὴν πλευρὰν ΒΓ ἴσην πρὸς τὸ ἥμισυ τῆς φάλαγγος τοῦ ζυγοῦ [δηλαδὴ ἡ ΑΒ = ΒΓ], ἂς ἐξαρτηθῇ δὲ τὸ τρίγωνον ἐκ τῶν σημείων Β, Γ, ἂς ἐξαρτηθῇ δὲ καὶ ἄλλο χωρίον τὸ Ζ ἐκ τοῦ ἄλλου μέρους τοῦ ζυγοῦ κατὰ τὸ Α, καὶ ἂς ἰσορροπῇ τὸ χωρίον Ζ ἐξηρτημένον κατὰ τὸ Α τὸ τρίγωνον ΒΔΓ, ὅπως εὑρίσκεται τώρα. Λέγω, ὅτι τὸ χωρίον Ζ εἶναι τὸ ἓν τρίτον τοῦ τριγώνου ΒΔΓ.



Διότι ἐπειδὴ ὑπετέθη ὅτι ὁ ζυγὸς ἰσορροπεῖ, θὰ εἶναι καὶ ἡ γραμμὴ ΑΓ ὁριζοντία αἱ δὲ ἀγόμεναι κάθετοι πρὸς τὴν ΑΓ εὑρισκόμεναι εἰς τὸ κατακόρυφον ἐπίπεδον θὰ εἶναι κάθετοι ἐπὶ τὸ ὁριζόντιον ἐπίπεδον. Ἂς τμηθῇ λοιπὸν ἡ εὐθεῖα ΒΓ κατὰ τὸ Ε ὥστε νὰ εἶναι ΓΕ = 2 ΕΒ, καὶ ἂς ἀχθῇ παράλληλος πρὸς τὴν ΔΒ ἡ ΚΕ καὶ ἂς τμηθῇ εἰς *νου κέντρον βάρεός ἐστι τὸ Θ σαμεῖον· δέδεικται γὰρ τοῦτο ἐν τοῖς Μηχανικοῖς. εἴ κα οὖν τοῦ ΒΔΓ τριγώνου ἁ μὲν κατὰ τὰ Β, Γ κρέμασις λυθῇ, κατὰ δὲ τὸ Ε κρεμασθῇ, μενεῖ τὸ τρίγωνον, ὡς νῦν ἔχει· ἕκαστον γὰρ τῶν κρεμαμένων, ἐξ οὗ σαμείου κα κατασταθῇ, μένει, ὥστε κατὰ κάθετον εἶμεν τό τε σαμεῖον τοῦ κρεμαστοῦ καὶ τὸ κέντρον τοῦ βάρεος τοῦ κρεμαμένου· δέδεικται γὰρ καὶ τοῦτο. ἐπεὶ οὖν τὰν αὐτὰν ἕξει κατάστασιν τὸ ΒΓΔ τρίγωνον ποτὶ τὸν ζυγόν, ἰσορροπήσει ὁμοίως τὸ Ζ χωρίον. ἐπεὶ δὲ ἰσορροπέοντι τὸ μὲν Ζ κρεμάμενον κατὰ τὸ Α, τὸ δὲ ΒΔΓ κατὰ τὸ Ε, δῆλον, ὡς ἀντιπέπονθε τοῖς μάκεσιν, καί ἐστιν, ὡς ἁ ΑΒ ποτὶ τὰν ΒΕ, οὕτως τὸ ΒΔΓ τρίγωνον ποτὶ τὸ Ζ χωρίον. τριπλασία δὲ ἁ ΑΒ τᾶς ΒΕ· καὶ τὸ ΒΔΓ ἄρα τρίγωνον τριπλάσιόν ἐστι τοῦ Ζ χωρίου.*

φανερὸν δὲ [ὅτι] καί, εἴ κα τριπλάσιον ᾖ τὸ ΒΔΓ τρίγωνον τοῦ Ζ χωρίου, ὅτι ἰσορροπήσει.

ζʹ

Ἔστω πάλιν ζυγὸς ἁ ΑΓ γραμμά, μέσον δὲ αὐτᾶς ἔστω τὸ Β, καὶ κρεμάσθω κατὰ τὸ Β [τὸ ΓΔΗ τρίγωνον], τὸ δὲ ΓΔΗ ἔστω τρίγωνον ἀμβλυγώνιον βάσιν μὲν ἔχον τὰν ΔΗ, ὕψος δὲ
H 276 *τὰν ἴσαν ἐοῦσαν τᾷ ἡμισείᾳ τοῦ ζυγοῦ, καὶ κρεμάσθω τὸ ΔΓΗ τρίγωνον ἐκ τῶν Β, Γ σαμείων, τὸ δὲ Ζ χωρίον κρεμάμενον κατὰ τὸ Α ἰσορροπὲς ἔστω τῷ ΓΔΗ τριγώνῳ οὕτως ἔχοντι, ὡς νῦν κεῖται. ὁμοίως δὴ δειχθήσεται τὸ Ζ χωρίον τρίτον μέρος τοῦ ΓΔΗ τριγώνου.*



κρεμάσθω γάρ τι καὶ ἄλλο χωρίον ἐκ τοῦ Α τρίτον μέρος ἐὸν τοῦ ΒΓΗ τριγώνου· ἰσορροπήσει δὴ τὸ ΒΔΓ τρίγωνον τὸ μέσον κατὰ τὸ Θ· εἶναι λοιπὸν τοῦ τριγώνου ΒΔΓ τὸ σημεῖον Θ κέντρον βάρους· διότι τοῦτο ἀπεδείχθη εἰς τὰ Μηχανικὰ ('Επιπέδων 'Ισορ. I, 14). 'Εὰν λοιπὸν τὸ τρίγωνον ΒΔΓ παύσῃ νὰ ἐξαρτᾶται ἐκ τῶν σημείων Β, Γ, ἐξαρτηθῇ δὲ κατὰ τὸ Ε, θὰ μείνῃ ὅπως εἶναι τώρα· διότι ἕκαστον ἐκ τῶν ἐξηρτημένων παραμένει εἰς τοιαύτην θέσιν ἐκ τοῦ σημείου ἐξαρτήσεως, ὥστε τὸ σημεῖον ἐξαρτήσεως καὶ τὸ κέντρον τοῦ βάρους τοῦ ἐξηρτημένου νὰ εἶναι ἐπὶ τῆς αὐτῆς κατακορύφου· διότι καὶ τοῦτο ἔχει ἀποδειχθῇ. 'Επειδὴ λοιπὸν τὸ τρίγωνον ΒΔΓ θὰ διατηρήσῃ τὴν κατάστασίν του ἔναντι τοῦ ζυγοῦ, ὁμοίως θὰ ἰσορροπήσῃ τὸ χωρίον Ζ. 'Επειδὴ δὲ ὑπάρχει ἰσορροπία, ἐν ᾧ τὸ μὲν Ζ εἶναι ἐξηρτημένον κατὰ τὸ Α, τὸ δὲ ΒΔΓ κατὰ τὸ Ε, εἶναι φανερόν, ὅτι ταῦτα εἶναι ἀντιστρόφως ἀνάλογα πρὸς τὰ μήκη, καὶ εἶναι ΑΒ : ΒΕ = τρίγωνον ΒΔΓ : χωρίον Ζ ('Επιπ. 'Ισορ. I, 6, 7). Εἶναι δὲ ἡ ΑΒ = 3 ΒΕ· καὶ τὸ τρίγωνον ἄρα ΒΔΓ εἶναι τριπλάσιον τοῦ χωρίου Ζ.

Εἶναι λοιπὸν φανερόν, ὅτι ἐὰν τὸ τρίγωνον ΒΔΓ εἶναι τριπλάσιον τοῦ χωρίου Ζ θὰ ἰσορροπήσωσι.

7

῎Εστω πάλιν ζυγὸς ἡ εὐθεῖα γραμμὴ ΑΓ, μέσον δὲ αὐτῆς ἔστω τὸ Β, καὶ ἂς ἐξαρτηθῇ κατὰ τὸ Β [τὸ τρίγωνον ΓΔΗ], ἔστω δὲ τὸ τρίγωνον ΓΔΗ ἀμβλυγώνιον ἔχον βάσιν μὲν τὴν ΔΗ, ὕψος δὲ τὴν ἴσην οὖσαν πρὸς τὸ ἥμισυ τοῦ ζυγοῦ, καὶ ἂς ἐξαρτηθῇ τὸ τρίγωνον ΔΓΗ ἐκ τῶν σημείων Β, Γ, τὸ δὲ χωρίον Ζ ἐξαρτηθὲν κατὰ τὸ Α ἔστω ὅτι ἰσορροπεῖ τὸ τρίγωνον ΓΔΗ, εὑρισκόμενον ὅπως εἶναι τώρα. Καθ' ὅμοιον τρόπον ἀποδεικνύεται ὅτι τὸ χωρίον Ζ εἶναι τὸ ἓν τρίτον τοῦ τριγώνου ΓΔΗ.

Διότι ἂς ἐξαρτηθῇ καὶ ἄλλο χωρίον ἐκ τοῦ Α ὃν ἓν τρίτον τοῦ τριγώνου ΒΓΗ· θὰ ἰσορροπήσῃ λοιπὸν τὸ τρίγωνον ΒΔΓ πρὸς τὸ τῷ ΖΛ. ἐπεὶ οὖν τὸ μὲν ΒΓΗ τρίγωνον ἰσορροπεῖ τῷ Λ, τὸ δὲ ΒΓΔ τῷ ΖΛ, καὶ τρίτον ἐστὶ τοῦ ΒΓΔ τὸ ΖΛ, φανερόν, ὅτι καὶ τὸ ΓΔΗ τρίγωνον τριπλάσιον τοῦ Ζ.

η′

Ἔστω ζυγὸς ὁ ΑΒΓ, μέσον δὲ αὐτοῦ τὸ Β, καὶ κρεμάσθω κατὰ τὸ Β, τὸ δὲ ΓΔΕ τρίγωνον ὀρθογώνιον ὀρθὰν ἔχον τὰν ποτὶ τῷ Ε γωνίαν, καὶ κρεμάσθω ἐκ τοῦ ζυγοῦ κατὰ τὰ Γ, Ε, τὸ δὲ Ζ χωρίον κρεμάσθω κατὰ τὸ Α καὶ ἰσορροπείτω τῷ ΓΔΕ οὕτως ἔχοντι, ὡς νῦν κεῖται, ὃν δὲ λόγον ἔχει ἁ ΑΒ ποτὶ τὰν ΒΕ, τοῦτον ἐχέτω τὸ ΓΔΕ τρίγωνον ποτὶ τὸ Κ χωρίον.



φαμὶ δή, τὸ Ζ χωρίον τοῦ μὲν ΓΔΕ τριγώνου ἔλασσον εἶμεν, τοῦ δὲ Κ μεῖζον.

λελάφθω γὰρ τοῦ ΔΕΓ τριγώνου τὸ κέντρον τοῦ βάρεος καὶ ἔστω τὸ Θ, καὶ ἁ ΘΗ ἄχθω παρὰ τὰν ΔΕ. ἐπεὶ οὖν ἰσορ-
H 278 ροπεῖ τὸ ΓΔΕ τρίγωνον τῷ Ζ χωρίῳ, τὸν αὐτὸν ἔχει λόγον τὸ ΓΔΕ χωρίον ποτὶ τὸ Ζ, ὃν ἁ ΑΒ ποτὶ τὰν ΒΗ· ὥστε ἔλασσόν ἐστι τὸ Ζ τοῦ ΓΔΕ. καὶ ἐπεὶ τὸ ΓΔΕ τρίγωνον ποτὶ μὲν τὸ Ζ τοῦτον ἔχει τὸν λόγον, ὃν ἁ ΒΑ ποτὶ τὰν ΒΗ, ποτὶ δὲ τὸ Κ, ὃν ἁ ΒΑ ποτὶ τὰν ΒΕ, δῆλον, ὡς μείζονα λόγον ἔχει τὸ ΓΔΕ τρίγωνον ποτὶ τὸ Κ ἢ ποτὶ τὸ Ζ· ὥστε μεῖζόν ἐστι τὸ Ζ τοῦ Κ.

θ′

Ἔστω πάλιν τὸ μὲν ΑΓ ζύγιον, μέσον δὲ αὐτοῦ τὸ Β, τὸ δὲ ΓΔΚ τρίγωνον ἀμβλυγώνιον βάσιν μὲν ἔχον τὰν ΔΚ, ὕψος δὲ τὰν ΕΓ, καὶ κρεμάσθω ἐκ τοῦ ζυγοῦ κατὰ τὰ Γ, Ε, τὸ δὲ Ζ χωρίον κρεμάσθω κατὰ τὸ Α καὶ ἰσορροπείτω τῷ ΔΓΚ

Ζ + Λ. Ἐπειδὴ λοιπὸν τὸ μὲν τρίγωνον ΒΓΗ ἰσορροπεῖ πρὸς τὸ Λ, τὸ δὲ τρίγωνον ΒΓΔ πρὸς τὸ Ζ + Λ, καὶ τὸ Ζ + Λ εἶναι τὸ ἓν τρίτον τοῦ ΒΓΔ, εἶναι φανερόν, ὅτι καὶ τὸ τρίγωνον ΓΔΗ εἶναι τριπλάσιον τοῦ Ζ.

8

Ἔστω ὁ ζυγὸς ΑΒΓ, μέσον δὲ αὐτοῦ τὸ Β, καὶ ἂς ἐξαρτηθῇ κατὰ τὸ Β, τὸ δὲ τρίγωνον ΓΔΕ ἔστω ὀρθογώνιον ἔχον ὀρθὴν τὴν γωνίαν Ε, καὶ ἂς ἐξαρτηθῇ ἐκ τοῦ ζυγοῦ κατὰ τὰ σημεῖα Γ, Ε, τὸ δὲ χωρίον Ζ ἂς ἐξαρτηθῇ κατὰ τὸ Α καὶ ἂς ἰσορροπήσῃ τὸ ΓΔΕ εὑρισκόμενον, ὅπως εἶναι τώρα, νὰ εἶναι δὲ ὡς ἡ ΑΒ : ΒΕ = τρίγωνον ΓΔΕ : χωρίον Κ. Λέγω, ὅτι τὸ χωρίον Ζ τοῦ μὲν τριγώνου ΓΔΕ εἶναι μικρότερον, τοῦ δὲ Κ εἶναι μεγαλύτερον.

Διότι ἂς ληφθῇ τὸ κέντρον τοῦ βάρους τοῦ τριγώνου ΔΕΓ καὶ ἔστω τὸ Θ, καὶ ἂς ἀχθῇ ἡ ΘΗ παράλληλος πρὸς τὴν ΔΕ. Ἐπειδὴ λοιπὸν τὸ τρίγωνον ΓΔΕ ἰσορροπεῖ τὸ χωρίον Ζ, θὰ εἶναι ΓΔΕ : Ζ = ΑΒ : ΒΗ (Ἐπιπ. Ἰσορ. Ι, 6, 7)· ὥστε τὸ Ζ εἶναι μικρότερον τοῦ ΓΔΕ. Καὶ ἐπειδὴ τὸ τρίγωνον ΓΔΕ : Ζ = ΒΑ : ΒΗ καὶ ΓΔΕ : Κ = ΒΑ : ΒΕ (ἐξ ὑποθέσεως), εἶναι φανερόν, ὅτι ΓΔΕ : Κ > ΓΔΕ : Ζ· ὥστε Ζ > Κ (Εὐκλ. V, 10).

9



Ἔστω πάλιν ζυγὸς μὲν ὁ ΑΓ, μέσον δὲ αὐτοῦ τὸ Β, τὸ δὲ τρίγωνον ΓΔΚ νὰ εἶναι ἀμβλυγώνιον ἔχον βάσιν μὲν τὴν ΔΚ, ὕψος δὲ τὴν ΕΓ, καὶ ἂς ἐξαρτηθῇ ἐκ τοῦ ζυγοῦ κατὰ τὰ σημεῖα Γ, Ε, τὸ δὲ χωρίον Ζ ἂς ἐξαρτηθῇ κατὰ τὸ Α καὶ ἂς ἰσορροπήσῃ τριγώνῳ οὕτως ἔχοντι, ὡς νῦν κεῖται, ὃν δὲ λόγον ἔχει ἁ ΑΒ ποτὶ τὰν ΒΕ, τοῦτον ἐχέτω τὸ ΓΔΚ τρίγωνον ποτὶ τὸ Λ. φαμὶ δή, τὸ Ζ τοῦ μὲν Λ μεῖζον εἶμεν, τοῦ δὲ ΔΓΚ ἔλασσον.

δειχθήσεται ὁμοίως τῷ πρότερον.

ι′

Ἔστω πάλιν τὸ μὲν ΑΒΓ ζύγιον καὶ μέσον αὐτοῦ τὸ Β, τὸ δὲ ΒΔΗΚ τραπέζιον τὰς μὲν ποτὶ τοῖς Β, Η σαμείοις γωνίας ὀρθὰς ἔχον, τὰν δὲ ΚΔ πλευρὰν ἐπὶ τὸ Γ νεύουσαν, καὶ
H 280 ὃν ἔχει λόγον ἁ ΑΒ ποτὶ τὰν ΒΗ, τοῦτον ἐχέτω τὸ ΒΔΚΗ τραπέζιον ποτὶ τὸ Λ, κρεμάσθω δὲ τὸ ΒΔΗΚ τραπέζιον ἐκ τοῦ ζυγοῦ κατὰ τὰ Β, Η σαμεῖα, κρεμάσθω δὲ καὶ τὸ Ζ χωρίον κατὰ τὸ Α καὶ ἰσορροπείτω τῷ ΒΔΚΗ τραπεζίῳ οὕτως ἔχοντι, ὡς νῦν ὑπόκειται. φαμί, τὸ Ζ χωρίον ἔλασσον εἶμεν τοῦ Λ.

τετμάσθω γὰρ ἁ ΑΓ κατὰ τὸ Ε οὕτως, ὥστε, ὃν ἔχει λόγον ἁ διπλασία τᾶς ΔΒ καὶ ἁ ΚΗ ποτὶ τὰν διπλασίαν τᾶς ΚΗ καὶ τὰν ΒΔ, τοῦτον ἔχειν τὰν ΕΗ ποτὶ τὰν ΒΕ, καὶ διὰ τοῦ Ε παρὰ τὰν ΒΔ ἀχθεῖσα ἁ ΕΝ τετμάσθω δίχα κατὰ τὸ Θ· τοῦ δὴ ΒΔΗΚ τραπεζίου κέντρον ἐστὶ τοῦ βάρεος τὸ Θ· δέδεικται γὰρ τοῦτο ἐν τοῖς Μηχανικοῖς. ἤν οὖν τὸ ΒΔΗΚ τραπέζιον κατὰ μὲν τὸ Ε κρεμασθῇ, ἀπὸ δὲ τῶν Β, Η σαμείων λυθῇ, μένει τὰν αὐτὰν ἔχον κατάστασιν διὰ τὰ αὐτὰ τοῖς πρότερον καὶ ἰσορροπεῖ τῷ Ζ χωρίῳ. ἐπεὶ οὖν ἰσορροπεῖ τὸ ΒΔΗΚ τραπέζιον κατὰ τὸ Ε κρεμάμενον τῷ Ζ χωρίῳ κατὰ τὸ Α κρεμαμένῳ, ἐσσεῖται, ὡς ἁ ΑΒ ποτὶ τὰν ΒΕ, τὸ ΒΔΗΚ τραπέζιον ποτὶ τὸ Ζ χωρίον· μείζονα ἄρα λόγον ἔχει τὸ ΒΔΗΚ τραπέζιον ποτὶ τὸ Ζ ἤπερ ποτὶ τὸ Λ, ἐπεὶ καὶ ἁ ΑΒ ποτὶ τὰν ΒΕ μείζονα λόγον ἔχει ἤπερ ποτὶ τὰν ΒΗ· ὥστε ἔλασσον ἐσσεῖται τὸ Ζ τοῦ Λ.

πρὸς τὸ τρίγωνον ΔΓΚ τὸ ὁποῖον νὰ εἶναι, ὅπως εὑρίσκεται τώρα, καὶ νὰ εἶναι ΑΒ : ΒΕ = τρίγωνον ΓΔΚ : Λ. Λέγω, ὅτι Λ < Ζ < τρίγ. ΔΓΚ.

Τοῦτο ἀποδεικνύεται ὅπως τὸ προηγούμενον.

10

Ἔστω πάλιν ζυγὸς μὲν ὁ ΑΒΓ καὶ μέσον αὐτοῦ τὸ Β, τὸ δὲ τραπέζιον ΒΔΗΚ ἔχον ὀρθὰς μὲν τὰς παρὰ τὰ σημεῖα Β, Η γωνίας, τὴν δὲ πλευρὰν ΚΔ διευθυνομένην πρὸς τὸ Γ, καὶ νὰ εἶναι ΑΒ : ΒΗ = τραπέζιον ΒΔΚΗ : Λ, ἂς ἐξαρτηθῇ δὲ τὸ τραπέζιον ΒΔΗΚ ἐκ τοῦ ζυγοῦ κατὰ τὰ σημεῖα Β, Η, ἂς ἐξαρτηθῇ δὲ καὶ τὸ χωρίον Ζ κατὰ τὸ Α καὶ ἂς ἰσορροπῇ πρὸς τὸ τραπέζιον ΒΔΚΗ ἔχον, ὡς τώρα εὑρίσκεται· Λέγω, ὅτι τὸ χωρίον Ζ εἶναι μικρότερον τοῦ Λ.

Διότι ἂς τμηθῇ ἡ ΑΓ κατὰ τὸ Ε οὕτως, ὥστε 2ΔΒ + ΚΗ : 2ΚΗ + ΒΔ = ΕΗ : ΒΕ (Εὐκλ. VI, 10), καὶ διὰ τοῦ Ε ἀφοῦ ἀχθῇ παράλληλος πρὸς τὴν ΒΔ ἡ ΕΝ ἂς τμηθῇ εἰς τὸ μέσον διὰ τοῦ Θ· τοῦ τραπεζίου λοιπὸν ΒΔΗΚ κέντρον τοῦ βάρους εἶναι τὸ Θ· διότι τοῦτο ἔχει ἀποδειχθῇ εἰς τὰ Μηχανικὰ (Ἐπιπ. Ἰσορ. Ι, 15). Ἐὰν λοιπὸν τὸ τραπέζιον ΒΔΗΚ ἐξαρτηθῇ κατὰ τὸ Ε, λυθῇ δὲ ἀπὸ τῶν σημείων Β, Η, θὰ μείνῃ εἰς τὴν αὐτὴν κατάστασιν διὰ τοὺς αὐτούς, ὡς καὶ πρότερον ἐκτεθέντας λόγους καὶ θὰ ἰσορροπήσῃ πρὸς τὸ χωρίον Ζ. Ἐπειδὴ λοιπὸν τὸ τραπέζιον ΒΔΗΚ ἰσορροπεῖ ἐξαρτώμενον κατὰ τὸ Ε, πρὸς τὸ χωρίον Ζ ἐξαρτώμενον κατὰ τὸ Α, θὰ εἶναι ΑΒ : ΒΕ = τραπέζιον ΒΔΗΚ : χωρίον Ζ· εἶναι ἄρα τραπέζιον ΒΔΗΚ : Ζ > τραπ. ΒΔΗΚ : Λ, ἐπειδὴ καὶ ΑΒ : ΒΕ > ΑΒ:ΒΗ (Εὐκλ. V, 8)· ὥστε εἶναι Ζ < Λ (Εὐκλ. V, 10).



ια΄

Ἔστω πάλιν τὸ μὲν ΑΓ ζύγιον καὶ μέσον αὐτοῦ τὸ Β, H 282 τὸ δὲ ΚΔΤΡ τραπέζιον ἔστω τὰς μὲν ΚΔ, ΤΡ πλευρὰς ἔχον ἐπὶ τὸ Γ νευούσας, τὰς δὲ ΔΡ, ΚΤ καθέτους ἐπὶ τὰν ΒΓ, καὶ ἁ ΔΡ ἐπὶ τὸ Β πιπτέτω, ὃν δὲ λόγον ἔχει ἁ ΑΒ ποτὶ τὰν ΒΗ, τοῦτον ἐχέτω τὸ ΔΚΤΡ τραπέζιον ποτὶ τὸ Λ, τὸ δὲ ΔΚΤΡ τραπέζιον κρεμάσθω ἐκ τοῦ ζυγοῦ κατὰ τὰ Β, Η καὶ τὸ Ζ κατὰ τὸ Α, καὶ ἰσορροπείτω τὸ Ζ τῷ ΔΚΡΤ τραπεζίῳ οὕτως ἔχοντι, ὡς νῦν κεῖται. ὁμοίως δὴ τοῖς πρότερον δειχθήσεται ἔλασσον τὸ Ζ χωρίον τοῦ Λ.

ιβ΄

Ἔστω πάλιν τὸ μὲν ΑΓ ζύγιον, μέσον δὲ αὐτοῦ τὸ Β, τὸ δὲ ΔΕΚΗ τραπέζιον ἔστω τὰς μὲν ποτὶ τοῖς Ε, Η σαμείοις γωνίας ὀρθὰς ἔχον, τὰς δὲ ΚΔ, ΕΗ γραμμὰς ποτὶ τὸ Γ νευούσας, καὶ ὃν μὲν λόγον ἔχει ἁ ΑΒ ποτὶ τὰν ΒΗ, τοῦτον ἐχέτω τὸ ΔΚΕΗ τραπέζιον ποτὶ τὸ Μ, ὃν δὲ λόγον ἔχει ἁ ΑΒ ποτὶ τὰν ΒΕ, τοῦτον τὸν λόγον ἐχέτω τὸ ΔΚΕΗ τραπέζιον ποτὶ τὸ Λ, κρεμάσθω δὲ τὸ ΔΚΕΗ τραπέζιον ἐκ τοῦ ζυγοῦ κατὰ τὰ Ε, Η, τὸ δὲ Ζ χωρίον κρεμάσθω κατὰ τὸ Α, καὶ ἰσορροπείτω τῷ τραπεζίῳ οὕτως ἔχοντι, ὡς νῦν ὑπόκειται. φαμὶ δή, τὸ Ζ τοῦ μὲν Λ μεῖζον εἶμεν, τοῦ δὲ Μ ἔλασσον.

ἔλαβον γὰρ τοῦ ΔΚΕΗ τραπεζίου τὸ κέντρον τοῦ βάρεος, ἔστω δὲ τὸ Θ· λαφθήσεται δὲ ὁμοίως τῷ πρότερον· καὶ ἄγω H 284 τὰν ΘΙ παρὰ τὰν ΔΕ. ἂν οὖν τὸ τραπέζιον ἐκ τοῦ ζυγοῦ κρεμασθῇ κατὰ τὸ Ι, ἀπὸ δὲ τῶν Ε, Η λυθῇ, μενεῖ τὰν αὐτὰν ἔχον κατάστασιν καὶ ἰσορροπήσει τῷ Ζ διὰ τὰ αὐτὰ τοῖς πρότερον. ἐπεὶ δὲ ἰσορροπεῖ τὸ τραπέζιον κρεμάμενον κατὰ τὸ Ι τῷ Ζ

11

Ἔστω πάλιν ζυγὸς μὲν ὁ ΑΓ καὶ μέσον αὐτοῦ τὸ Β, τὸ δὲ τραπέζιον ΚΔΤΡ ἔστω ἔχον τὰς μὲν πλευρὰς ΚΔ, ΤΡ διευθυνομένας πρὸς τὸ Γ, τὰς δὲ ΔΡ, ΚΤ καθέτους πλευρὰς ἐπὶ τὴν ΒΓ, καὶ ἡ ΔΡ ἂς πίπτῃ εἰς τὸ Β, καὶ ἂς εἶναι ΑΒ : ΒΗ = τραπέζιον ΔΚΤΡ : Λ, τὸ δὲ τραπέζιον ΔΚΤΡ ἂς ἐξαρτηθῇ ἐκ τοῦ ζυγοῦ κατὰ τὰ σημεῖα Β, Η καὶ τὸ Ζ κατὰ τὸ Α, καὶ εἰς τὴν κατάστασιν αὐτήν,



ὅπως εἶναι τώρα, ἂς ἰσορροπῇ τὸ Ζ πρὸς τὸ τραπέζιον ΔΚΡΤ. Ἀποδεικνύεται, ὅπως προηγουμένως, ὅτι τὸ χωρίον Ζ < Λ.

12

Ἔστω πάλιν ζυγὸς μὲν ὁ ΑΓ μέσον δὲ αὐτοῦ τὸ Β, τὸ δὲ τραπέζιον ΔΕΚΗ ἔστω ἔχον ὀρθὰς μὲν γωνίας τὰς πρὸς τὰ σημεῖα Ε, Η, τὰς δὲ πλευρὰς ΚΔ, ΕΗ διευθυνομένας πρὸς τὸ Γ, καὶ ἂς εἶναι ΑΒ : ΒΗ = τραπέζιον ΔΚΕΗ : Μ, καὶ ΑΒ : ΒΕ = τραπέζιον ΔΚΕΗ : Λ, ἂς ἐξαρτηθῇ δὲ τὸ τραπέζιον ΔΚΕΗ ἐκ τοῦ ζυγοῦ κατὰ τὰ σημεῖα Ε, Η, τὸ δὲ χωρίον Ζ ἂς ἐξαρτηθῇ κατὰ τὸ Α, καὶ ἂς ἰσορροπῇ πρὸς τὸ τραπέζιον εὑρισκόμενον εἰς αὐτὴν τὴν κατάστασιν, ὅπως εἶναι τώρα. Λέγω, ὅτι Μ > Ζ > Λ.

Διότι ἂς λάβω τὸ κέντρον τοῦ βάρους τοῦ τραπεζίου ΔΚΕΗ καὶ ἔστω τὸ Θ· λαμβάνεται δὲ τοῦτο ὁμοίως, ὡς προηγουμένως· καὶ φέρω τὴν ΘΙ παράλληλον πρὸς τὴν ΔΕ. Ἂν λοιπὸν τὸ τραπέζιον ἐξαρτηθῇ κατὰ τὸ Ι, λυθῇ δὲ ἀπὸ τῶν Ε, Η, θὰ μείνῃ εἰς τὴν αὐτὴν κατάστασιν καὶ θὰ ἰσορροπήσῃ πρὸς τὸ Ζ διὰ τοὺς αὐτοὺς λόγους, ὡς ἐλέχθη προηγουμένως. Ἐπειδὴ δὲ τὸ τραπέζιον ἐξαρτώμενον κατὰ τὸ Ι *κρεμαμένῳ κατὰ τὸ Α, τὸν αὐτὸν ἕξει λόγον τὸ τραπέζιον ποτὶ τὸ Ζ, ὃν ἁ ΑΒ ποτὶ τὰν ΒΙ· δῆλον οὖν, ὅτι τὸ ΔΚΕΗ ποτὶ μὲν τὸ Λ μείζονα λόγον ἔχει ἢ ποτὶ τὸ Ζ, ποτὶ δὲ τὸ Μ ἐλάσσονα ἢ ποτὶ τὸ Ζ· ὥστε τὸ Ζ τοῦ μὲν Λ μεῖζόν ἐστι, τοῦ δὲ Μ ἔλασσον.*

ιγʹ

Ἔστω πάλιν τὸ μὲν ΑΓ ζύγιον, κατὰ μέσον δὲ αὐτοῦ τὸ Β, τὸ δὲ ΚΔΤΡ τραπέζιον, ὥστε τὰς μὲν ΚΔ, ΤΡ πλευρὰς νευούσας εἶμεν ἐπὶ τὸ Γ, τὰς δὲ ΔΤ, ΚΡ καθέτους ἐπὶ τὰν ΒΓ, κρεμάσθω δὲ ἐκ τοῦ ζυγοῦ κατὰ τὰ Ε, Η, τὸ δὲ Ζ χωρίον κρεμάσθω κατὰ τὸ Α καὶ ἰσορροπείτω τῷ ΔΚΤΡ τραπεζίῳ οὕτως ἔχοντι, ὡς νῦν κεῖται, καὶ ὃν μὲν ἔχει λόγον ἁ ΑΒ ποτὶ τὰν ΒΕ, τοῦτον ἐχέτω τὸ ΔΚΤΡ τραπέζιον ποτὶ τὸ Λ χωρίον, ὃν δὲ λόγον ἔχει ἁ ΑΒ ποτὶ τὰν ΒΗ, τοῦτον ἐχέτω τὸ αὐτὸ τραπέζιον ποτὶ τὸ Μ. ὁμοίως δὴ τῷ πρότερον δειχθήσεται τὸ Ζ τοῦ μὲν Λ μεῖζον, τοῦ δὲ Μ ἔλασσον.



ιδʹ

Ἔστω τμᾶμα τὸ ΒΘΓ περιεχόμενον ὑπὸ εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς. ἔστω δὴ πρῶτον ἁ ΒΓ ποτ' ὀρθὰς τᾷ διαμέτρῳ, καὶ ἄχθω ἀπὸ μὲν τοῦ Β σαμείου ἁ ΒΔ παρὰ τὰν
H 286 *διάμετρον, ἀπὸ δὲ τοῦ Γ ἁ ΓΔ ἐπιψαύουσα τᾶς τοῦ κώνου τομᾶς κατὰ τὸ Γ· ἐσσεῖται δὴ τὸ ΒΓΔ τρίγωνον ὀρθογώνιον. διῃρήσθω δὴ ἁ ΒΓ ἐς ἴσα τμάματα ὁποσαοῦν τὰ ΒΕ, ΕΖ, ΖΗ, ΗΙ, ΙΓ, καὶ ἀπὸ τᾶν τομᾶν ἄχθωσαν παρὰ τὰν διάμετρον αἱ*

ἰσορροπεῖ πρὸς τὸ Ζ ἐξαρτώμενον κατὰ τὸ Α, θὰ εἶναι τραπέζιον : Ζ = ΑΒ : ΒΙ· εἶναι λοιπὸν φανερὸν ὅτι τὸ τραπέζιον ΔΚΕΗ : Λ > ΔΚΕΗ : Ζ, καὶ ΔΚΕΗ : Μ < ΔΚΕΗ : Ζ· ὥστε Μ > Ζ > Λ.



13

Ἔστω πάλιν ζυγὸς μὲν ὁ ΑΓ, μέσον δὲ αὐτοῦ τὸ Β, τὸ δὲ ΚΔΤΡ νὰ εἶναι τραπέζιον, ὥστε αἱ μὲν πλευραὶ ΚΔ, ΤΡ νὰ διευθύνωνται πρὸς τὸ Γ, αἱ δὲ ΔΤ, ΚΡ νὰ εἶναι κάθετοι ἐπὶ τὴν ΒΓ, ἂς ἐξαρτηθῇ δὲ τοῦτο ἐκ τοῦ ζυγοῦ κατὰ τὰ σημεῖα Ε, Η, τὸ δὲ χωρίον Ζ ἂς ἐξαρτηθῇ κατὰ τὸ Α καὶ ἂς ἰσορροπήσῃ πρὸς τὸ τραπέζιον ΔΚΤΡ, ἔχον ὅπως τώρα κεῖται, καὶ ἂς εἶναι ΑΒ : ΒΕ = τραπέζιον ΔΚΤΡ : χωρίον Λ, καὶ ΑΒ : ΒΗ = τραπέζιον ΔΚΤΡ : Μ. Ὁμοίως πρὸς τὸ προηγούμενον ἀποδεικνύεται Μ > Ζ > Λ.

14

Ἔστω τὸ τμῆμα ΒΘΓ περιεχόμενον ὑπὸ εὐθείας καὶ παραβολῆς. Ἔστω δὲ πρῶτον ἡ ΒΓ κάθετος ἐπὶ τὴν διάμετρον, καὶ ἂς ἀχθῇ ἀπὸ μὲν τοῦ σημείου Β ἡ ΒΔ παράλληλος πρὸς τὴν διάμετρον, ἀπὸ δὲ τοῦ Γ ἡ ΓΔ ἐφαπτομένη τῆς κωνικῆς τομῆς κατὰ τὸ Γ· θὰ εἶναι λοιπὸν τὸ τρίγωνον ΒΓΔ ὀρθογώνιον. Ἂς διαιρεθῇ τώρα ἡ ΒΓ εἰς ὁσαδήποτε ἴσα τμήματα τὰ ΒΕ, ΕΖ, ΖΗ, ΗΙ, ΙΓ, καὶ ἐκ τῶν σημείων τομῆς ἂς ἀχθῶσι παράλληλοι πρὸς τὴν διάμετρον αἱ ΕΣ, ΖΤ, ΗΥ, *ΕΣ, ΖΤ, ΗΥ, ΙΞ, ἀπὸ δὲ τῶν σαμείων, καθ' ἃ τέμνοντι αὗται τὰν τοῦ κώνου τομάν, ἐπεζεύχθωσαν ἐπὶ τὸ Γ καὶ ἐκβεβλήσθωσαν. φαμὶ δὴ τὸ τρίγωνον τὸ ΒΔΓ τῶν μὲν τραπεζίων τῶν ΚΕ, ΛΖ, ΜΗ, ΝΙ καὶ τοῦ ΞΙΓ τριγώνου ἔλασσον εἶμεν ἢ τριπλάσιον, τῶν δὲ τραπεζίων τῶν ΖΦ, ΗΘ, ΙΠ καὶ τοῦ ΙΟΓ τριγώνου μεῖζον [ἐστιν] ἢ τριπλάσιον.*

διάχθω γὰρ εὐθεῖα ἁ ΑΒΓ, καὶ ἀπολελάφθω ἁ ΑΒ ἴσα τᾷ ΒΓ, καὶ νοείσθω ζύγιον τὸ ΑΓ· μέσον δὲ αὐτοῦ ἐσσεῖται τὸ Β· καὶ κρεμάσθω ἐκ τοῦ Β, κρεμάσθω δὲ καὶ τὸ ΒΔΓ ἐκ τοῦ ζυγοῦ κατὰ τὰ Β, Γ, ἐκ δὲ τοῦ θατέρου μέρεος τοῦ ζυγοῦ κρεμάσθω τὰ Ρ, Χ, Ψ, Ω, Δ_5 *χωρία κατὰ τὸ Α, καὶ ἰσορροπείτω τὸ μὲν Ρ χωρίον τῷ ΔΕ τραπεζίῳ οὕτως ἔχοντι, τὸ δὲ Χ τῷ ΖΣ τραπεζίῳ, τὸ δὲ Ψ τῷ ΤΗ, τὸ δὲ Ω τῷ ΥΙ, τὸ δὲ* Δ_5 *τῷ ΞΙΓ τριγώνῳ· ἰσορροπήσει δὴ καὶ τὸ ὅλον τῷ ὅλῳ· ὥστε τριπλάσιον ἂν εἴη τὸ ΒΔΓ τρίγωνον τοῦ* $\mathit{Ρ Χ Ψ Ω}\Delta_5$ *χωρίου. καὶ ἐπεί ἐστιν τμᾶμα τὸ ΒΓΘ, ὃ περιέχεται ὑπό τε εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς, καὶ ἀπὸ μὲν τοῦ Β παρὰ τὰν διάμετρον ἆκται ἁ ΒΔ, ἀπὸ δὲ τοῦ Γ ἁ ΓΔ ἐπιψαύουσα τᾶς τοῦ κώνου τομᾶς κατὰ τὸ Γ, ἆκται δέ τις καὶ ἄλλα παρὰ τὰν διάμετρον ἁ ΣΕ, τὸν αὐτὸν ἔχει λόγον ἁ ΒΓ ποτὶ τὰν ΒΕ, ὃν ἁ ΣΕ ποτὶ τὰν ΕΦ· ὥστε καὶ ἁ ΒΑ ποτὶ τὰν ΒΕ τὸν αὐτὸν ἔχει λόγον, ὃν τὸ ΔΕ τραπέζιον ποτὶ τὸ ΚΕ. ὁμοίως δὲ δειχθήσεται ἁ ΑΒ*
H 288 *ποτὶ τὰν ΒΖ τὸν αὐτὸν ἔχουσα λόγον, ὃν τὸ ΣΖ τραπέζιον ποτὶ τὸ ΛΖ, ποτὶ δὲ τὰν ΒΗ, ὃν τὸ ΤΗ ποτὶ τὸ ΜΗ, ποτὶ δὲ τὰν ΒΙ, ὃν τὸ ΥΙ ποτὶ τὸ ΝΙ. ἐπεὶ οὖν ἐστι τραπέζιον τὸ ΔΕ τὰς μὲν ποτὶ τοῖς Β, Ε σαμείοις γωνίας ὀρθὰς ἔχον, τὰς δὲ πλευρὰς ἐπὶ τὸ Γ νευούσας, ἰσορροπεῖ δέ τι χωρίον αὐτῷ τὸ Ρ κρεμάμενον ἐκ τοῦ ζυγοῦ κατὰ τὸ Α οὕτως ἔχοντος τοῦ τραπεζίου, ὡς νῦν κεῖται, καὶ ἔστιν, ὡς ἁ ΒΑ ποτὶ*

ΙΞ, ἀπὸ δὲ τῶν σημείων, κατὰ τὰ ὁποῖα τέμνουσιν αὗται τὴν παραβολήν, ἄς ἀχθῶσιν αἱ ἐκ τοῦ Γ εὐθεῖαι καὶ ἄς προεκβληθῶσι. Λέγω, ὅτι τὸ τρίγωνον ΒΔΓ εἶναι μικρότερον μὲν τοῦ τριπλασίου τοῦ ἀθροίσματος τῶν τραπεζίων ΚΕ, ΛΖ, ΜΗ, ΝΙ σὺν τὸ τρίγωνον ΞΙΓ, μεγαλύτερον δὲ τοῦ τριπλασίου τοῦ ἀθροίσματος τῶν τραπεζίων ΖΦ, ΗΘ, ΙΠ, σὺν τὸ τρίγωνον ΙΟΓ.

Διότι ἄς ἀχθῇ ἡ εὐθεῖα ΑΒΓ, καὶ ἄς ληφθῇ ΑΒ $=$ ΒΓ, καὶ ἄς νοηθῇ ζυγὸς ὁ ΑΓ· μέσον δὲ αὐτοῦ τὸ Β· καὶ ἄς ἐξαρτηθῇ ἐκ τοῦ Β, ἄς ἐξαρτηθῇ δὲ καὶ τὸ ΒΔΓ ἐκ τοῦ ζυγοῦ κατὰ τὰ Β, Γ, ἐκ τοῦ ἄλλου δὲ μέρους τοῦ ζυγοῦ ἄς ἐξαρτηθῶσι τὰ χωρία Ρ, Χ, Ψ, Ω, Δ_5 κατὰ τὸ Α, καὶ ἄς ἰσορροπήσῃ τὸ μὲν χωρίον Ρ πρὸς τὸ τραπέζιον ΔΕ ὅπως εὑρίσκεται, τὸ δὲ Χ πρὸς τὸ τραπέζιον ΖΣ, τὸ δὲ Ψ πρὸς τὸ ΤΗ, τὸ δὲ Ω πρὸς τὸ ΥΙ, τὸ δὲ Δ_5 πρὸς τὸ τρίγωνον ΞΙΓ· θὰ ἰσορροπήσῃ δὲ καὶ τὸ ἄθροισμα τῶν πρώτων πρὸς τὸ ἄθροισμα τῶν δευτέρων· ὥστε θὰ εἶναι τριπλάσιον τὸ τρίγωνον ΒΔΓ τοῦ χωρίου $Ρ + Χ + Ψ + Ω + \Delta_5$ (θ. 6). Καὶ ἐπειδὴ ὑπάρχει τμῆμα τὸ ΒΓΘ, περιεχόμενον ὑπὸ εὐθείας καὶ παραβολῆς, καὶ ἀπὸ μὲν τοῦ Β ἔχει ἀχθῇ παράλληλος πρὸς τὴν διάμετρον ἡ ΒΔ, ἀπὸ δὲ τοῦ Γ ἡ ΓΔ ἐφαπτομένη τῆς παραβολῆς κατὰ τὸ Γ, ἔχει δὲ ἀχθῇ καὶ ἄλλη παράλληλος πρὸς τὴν διάμετρον ἡ ΣΕ, θὰ εἶναι ΒΓ : ΒΕ $=$ ΣΕ : ΕΦ (θ. 5)· ὥστε εἶναι καὶ ΒΑ : ΒΕ $=$ τραπέζιον ΔΕ : τραπέζιον ΚΕ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύεται ὅτι ΑΒ : ΒΖ $=$ τραπέζιον ΣΖ : τραπέζιον ΛΖ, καὶ ΑΒ : ΒΗ $=$ τραπέζιον ΤΗ : τραπέζιον ΜΗ, καὶ ΑΒ : ΒΙ $=$ τραπ. ΥΙ : τραπ. ΝΙ. Ἐπειδὴ λοιπὸν ὑπάρχει τὸ τραπέζιον ΔΕ ἔχον τὰς μὲν πρὸς τὰ σημεῖα Β, Ε γωνίας ὀρθὰς τὰς δὲ πλευρὰς συγκλινούσας πρὸς τὸ Γ, ἰσορροπεῖ δὲ πρὸς αὐτὸ χωρίον τι τὸ Ρ ἐξαρτώμενον ἐκ τοῦ ζυγοῦ κατὰ τὸ Α εὑρισκομένου τοῦ τραπεζίου ὅπως εἶναι τώρα, καὶ εἶναι ΒΑ : ΒΕ $=$ τραπέζιον ΔΕ : τραπ. ΚΕ, εἶτὰν ΒΕ, οὕτως τὸ ΔΕ τραπέζιον ποτὶ τὸ ΚΕ, μεῖζον ἄρα ἐστὶν τὸ ΚΕ χωρίον τοῦ Ρ χωρίου· δέδεικται γὰρ τοῦτο. πάλιν δὲ καὶ τὸ ΖΣ τραπέζιον τὰς μὲν ποτὶ τοῖς Ζ, Ε γωνίας ὀρθὰς ἔχον, τὰν δὲ ΣΤ νεύουσαν ἐπὶ τὸ Γ, ἰσορροπεῖ δὲ αὐτῷ χωρίον τὸ Χ ἐκ τοῦ ζυγοῦ κρεμάμενον κατὰ τὸ Α οὕτως ἔχοντος τοῦ τραπεζίου, ὡς νῦν κεῖται, καὶ ἔστιν, ὡς μὲν ἁ ΑΒ ποτὶ τὰν ΒΕ, οὕτως τὸ ΖΣ τραπέζιον ποτὶ τὸ ΖΦ, ὡς δὲ ἁ ΑΒ ποτὶ τὰν ΒΖ, οὕτως τὸ ΖΣ τραπέζιον ποτὶ τὸ ΛΖ· εἴη οὖν κα τὸ Χ χωρίον τοῦ μὲν ΛΖ τραπεζίου ἔλασσον, τοῦ δὲ ΖΦ μεῖζον· δέδεικται γὰρ καὶ τοῦτο. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ Ψ χωρίον τοῦ μὲν ΜΗ τραπεζίου ἔλασσον, τοῦ δὲ ΘΗ μεῖζον, καὶ τὸ Ω χω- H.290 ρίον τοῦ μὲν ΝΟΙΗ τραπεζίου ἔλασσον, τοῦ δὲ ΠΙ μεῖζον, ὁμοίως δὲ καὶ τὸ Δ_5 χωρίον τοῦ μὲν ΞΙΓ τριγώνου ἔλασσον, τοῦ δὲ ΓΙΟ μεῖζον. ἐπεὶ οὖν τὸ μὲν ΚΕ τραπέζιον μεῖζόν ἐστι τοῦ Ρ χωρίου, τὸ δὲ ΛΖ τοῦ Χ, τὸ δὲ ΜΗ τοῦ Ψ, τὸ δὲ ΝΙ τοῦ Ω, τὸ δὲ ΞΙΓ τρίγωνον τοῦ Δ_5, φανερόν, ὅτι καὶ πάντα τὰ εἰρημένα χωρία μείζονά ἐστι τοῦ ΡΧΨΩΔ_5 χωρίου. ἔστιν δὲ τὸ ΡΧΨ ΩΔ_5 τρίτον μέρος τοῦ ΒΓΔ τριγώνου· δῆλον ἄρα, ὅτι τὸ ΒΓΔ τρίγωνον ἔλασσόν ἐστιν ἢ τριπλάσιον τῶν ΚΕ, ΛΖ, ΜΗ, ΝΙ τραπεζίων καὶ τοῦ ΞΙΓ τριγώνου. πάλιν, ἐπεὶ τὸ μὲν ΖΦ τραπέζιον ἔλασσόν ἐστι τοῦ Χ χωρίου, τὸ δὲ ΘΗ τοῦ Ψ, τὸ δὲ ΙΠ τοῦ Ω, τὸ δὲ ΙΟΓ τρίγωνον τοῦ Δ_5, φανερόν, ὅτι καὶ πάντα τὰ εἰρημένα ἐλάσσονά ἐστι τοῦ Δ_5ΩΨΧ χωρίου· φανερὸν οὖν, ὅτι καὶ τὸ ΒΔΓ τρίγωνον μεῖζόν ἐστιν ἢ τριπλάσιον τῶν ΦΖ, ΘΗ, ΙΠ τραπεζίων καὶ τοῦ ΙΓΟ τριγώνου, ἔλασσον δὲ ἢ τριπλάσιον τῶν προγεγραμμένων.

ναι ἄρα χωρίον ΚΕ > χωρίου Ρ· διότι τοῦτο ἔχει ἀποδειχθῆ (θ. 10). Πάλιν δὲ καὶ τὸ τραπέζιον ΖΣ ἔχον τὰς μὲν πρὸς τὰ σημεῖα Ζ, Ε γωνίας ὀρθάς, τὴν δὲ ΣΤ συγκλίνουσαν πρὸς τὸ Γ, ἰσορροπεῖ δὲ πρὸς αὐτὸ τὸ χωρίον Χ ἐξαρτώμενον ἐκ τοῦ ζυγοῦ κατὰ τὸ Α εὑρισκομένου τοῦ τραπεζίου ὅπως εἶναι τώρα, καὶ εἶναι ὡς ἡ ΑΒ : ΒΕ = τραπέζιον ΖΣ : τραπ. ΖΦ, ὡς δὲ ἡ ΑΒ : ΒΖ = τραπ. ΖΣ : τραπ. ΛΖ· θὰ εἶναι λοιπὸν καὶ ΛΖ > Χ > ΖΦ· διότι καὶ τοῦτο ἔχει ἀποδειχθῆ (θ. 10). Διὰ τοὺς αὐτοὺς λόγους εἶναι καὶ ΜΗ > Ψ > ΘΗ καὶ ΝΟΙΗ > Ω > ΠΙ, ὁμοίως δὲ εἶναι καὶ ΞΙΓ > Δ_5 > ΓΙΟ (θ. 8). Ἐπειδὴ λοιπὸν εἶναι τραπ. ΚΕ > χωρ. Ρ, τραπ. ΛΖ > χωρ. Χ, τραπ. ΜΗ > χωρ. Ψ, καὶ τραπ. ΝΙ > Ω, τὸ δὲ ΞΙΓ τρίγωνον > Δ_5, εἶναι φανερόν, ὅτι καὶ ὅλα τὰ εἰρημένα χωρία εἶναι μεγαλύτερα τοῦ ἀθροίσματος



Ρ + Χ + Ψ + Ω + Δ_5. Εἶναι δὲ τὸ ἄρθοισμα Ρ + Χ + Ψ + Ω + $\Delta_5 = \frac{1}{3}$ τριγώνου ΒΓΔ (θ. 6)· εἶναι ἄρα φανερόν, ὅτι τὸ τρίγωνον ΒΓΔ < 3 (ΚΕ + ΛΖ + ΜΗ + ΝΙ τραπεζίων σὺν τὸ τρίγωνον ΞΙΓ). Πάλιν, ἐπειδὴ εἶναι τραπ. ΖΦ < Χ, ΘΗ < Ψ, ΙΠ < Ω, τὸ δὲ τρίγ. ΙΟΓ < Δ_5, εἶναι φανερόν, ὅτι καὶ ὅλα τὰ εἰρημένα εἶναι μικρότερα τοῦ ἀθροίσματος Δ_5 + Ω + Ψ + Χ· εἶναι λοιπὸν φανερόν, ὅτι καὶ τὸ τρίγωνον ΒΔΓ εἶναι μεγαλύτερον μὲν τοῦ 3 (ΦΖ + ΘΗ + ΙΠ τραπεζίων σὺν τὸ τρίγωνον ΙΓΟ), μικρότερον δὲ τοῦ τριπλασίου τῶν προεκτεθέντων.

ιε′

Ἔστω πάλιν τὸ ΒΘΓ τμᾶμα περιεχόμενον ὑπὸ εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς, ἁ δὲ ΒΓ μὴ ἔστω ποτ’ ὀρθὰς τᾷ διαμέτρῳ· ἀναγκαῖον δὴ ἤτοι τὰν ἀπὸ τοῦ Β σαμείου παρὰ τὰν διάμετρον ἀγμέναν ἐπὶ τὰ αὐτὰ τῷ τμάματι ἢ τὰν ἀπὸ τοῦ Γ ἀμβλεῖαν ποιεῖν γωνίαν ποτὶ τὰν ΒΓ. ἔστω ἁ τὰν ἀμβλεῖαν ποιοῦσα ἁ ποτὶ τῷ Β, καὶ ἄχθω παρὰ τὰν διάμετρον ἀπὸ τοῦ Β ἁ ΒΔ, καὶ ἀπὸ τοῦ Γ ἁ ΓΔ ἐπιψαύουσα τᾶς τοῦ κώνου τομᾶς κατὰ τὸ Γ, καὶ διῃρήσθω ἁ ΒΓ εἰς τμάματα ἴσα ὁποσαοῦν τὰ ΒΕ, ΕΖ, ΖΗ, ΗΙ, ΙΓ, ἀπὸ δὲ τῶν Ε, Ζ, Η, Ι παρὰ τὰν
Η 292 *διάμετρον ἄχθωσαν αἱ ΕΣ, ΖΤ, ΗΥ, ΙΞ, καὶ ἀπὸ τῶν σαμείων, καθ’ ἃ τέμνοντι αὗται τὰν τοῦ κώνου τομάν, ἐπεζεύχθωσαν ἐπὶ τὸ Γ καὶ ἐκβεβλήσθωσαν. φαμὶ δὴ καὶ νῦν, τὸ ΒΔΓ τρίγωνον τῶν μὲν τραπεζίων τῶν ΒΦ, ΛΖ, ΜΗ, ΝΙ καὶ τοῦ ΓΙΞ τριγώνου ἔλασσον εἶμεν ἢ τριπλάσιον, τῶν δὲ ΖΦ, ΗΘ, ΙΠ καὶ τοῦ ΓΟΙ τριγώνου μεῖζον ἢ τριπλάσιον.*

ἐκβεβλήσθω ἁ ΔΒ ἐπὶ θάτερα. ἀγαγὼν οὖν κάθετον τὰν ΓΚ τᾷ ΓΚ ἴσαν ἀπέλαβον τὰν ΑΚ. νοείσθω δὴ πάλιν ζύγιον τὸ ΑΓ, μέσον δὲ αὐτοῦ τὸ Κ, καὶ κρεμάσθω ἐκ τοῦ Κ, κρεμάσθω δὲ καὶ τὸ ΓΚΔ τρίγωνον ἐκ τοῦ ἡμίσεος τοῦ ζυγοῦ κατὰ τὰ Γ, Κ ἔχον, ὡς νῦν κεῖται, καὶ ἐκ τοῦ θατέρου μέρεος τοῦ ζυγοῦ κρεμάσθωσαν κατὰ τὸ Α τὰ Ρ, Χ, Ψ, Ω, $\underset{5}{\Delta}$ *χωρία, καὶ τὸ μὲν Ρ τῷ ΔΕ τραπεζίῳ ἰσορροπείτω οὕτως ἔχοντι, ὡς νῦν κεῖται, τὸ δὲ Χ τῷ ΖΣ τραπεζίῳ, τὸ δὲ Ψ τῷ ΤΗ, τὸ δὲ Ω τῷ ΥΙ, τὸ δὲ* $\underset{5}{\Delta}$ *τῷ ΓΙΞ τριγώνῳ· ἰσορροπήσει δὴ καὶ τὸ ὅλον τῷ*

15

Ἔστω πάλιν τὸ τμῆμα ΒΘΓ περιεχόμενον ὑπὸ εὐθείας καὶ παραβολῆς, ἡ δὲ ΒΓ ἂς μὴ εἶναι κάθετος ἐπὶ τὴν διάμετρον· κατ' ἀνάγκην λοιπὸν ἢ ἡ ἀγομένη ἐκ τοῦ σημείου Β πρὸς τὸ μέρος τῆς παραβολῆς παράλληλος πρὸς τὴν διάμετρον θὰ σχηματίζῃ μετὰ τῆς ΒΓ ἀμβλεῖαν γωνίαν ἢ ἡ ἀγομένη ἐκ τοῦ Γ παράλληλος πρὸς τὴν διάμετρον θὰ σχηματίζῃ μετὰ τῆς προεκτάσεως τῆς ΒΓ ἀμβλεῖαν γωνίαν πρὸς τὸ δεξιὸν μέρος τῆς παραβολῆς. Ἔστω ἡ σχηματίζουσα τὴν ἀμβλεῖαν γωνίαν ἡ ἀγομένη ἐκ τοῦ Β, καὶ ἂς ἀχθῇ παράλληλος πρὸς τὴν διάμετρον ἀπὸ τοῦ Β ἡ ΒΔ, καὶ ἀπὸ τοῦ Γ ἡ ΓΔ ἐφαπτομένη τῆς παραβολῆς κατὰ τὸ Γ, καὶ ἂς διαιρεθῇ ἡ ΒΓ εἰς τμήματα ἴσα ὁσαδήποτε τὰ ΒΕ, ΕΖ, ΖΗ, ΗΙ, ΙΓ, ἀπὸ δὲ τῶν σημείων Ε, Ζ, Η, Ι ἂς ἀχθῶσι παράλληλοι πρὸς τὴν διάμετρον αἱ ΕΣ, ΖΤ, ΗΥ, ΙΞ, καὶ ἀπὸ τῶν σημείων καθ' ἃ τέμνουσιν αὗται τὴν παραβολὴν ἂς ἀχθῶσιν εὐθεῖαι πρὸς τὸ Γ καὶ ἂς προεκβληθῶσι πρὸς τὸ ἀντίθετον μέρος. Λέγω καὶ τώρα, ὅτι τὸ τρίγωνον ΒΔΓ εἶναι μικρότερον μὲν τοῦ τριπλασίου ἀθροίσματος τῶν τραπεζίων ΒΦ, ΛΖ, ΜΗ, ΝΙ σὺν τὸ τρίγωνον ΓΙΞ, μεγαλύτερον δὲ τοῦ τριπλασίου ἀθροίσματος τῶν τραπεζίων ΖΦ, ΗΘ, ΙΠ σὺν τὸ τρίγωνον ΓΟΙ.

Ἂς προεκβληθῇ ἡ ΔΒ καὶ ἀπὸ τὰ δύο μέρη. Ἀφοῦ φέρω τὴν ΓΚ κάθετον ἐπ' αὐτὴν λαμβάνω ΑΚ = ΓΚ. Ἂς νοηθῇ δὲ πάλιν ζυγὸς ὁ ΑΓ, μέσον δὲ αὐτοῦ τὸ Κ, καὶ ἂς στηριχθῇ εἰς τὸ Κ, ἂς ἐξαρτηθῇ δὲ καὶ τὸ τρίγωνον ΓΚΔ ἐκ τοῦ ἡμίσεος τοῦ ζυγοῦ κατὰ τὰ σημεῖα Γ, Κ, ἔχον ὡς τώρα εὑρίσκεται, καὶ ἐκ τοῦ ἄλλου μέρους τοῦ ζυγοῦ ἂς ἐξαρτηθῶσι κατὰ τὸ Α τὰ χωρία Ρ, Χ, Ψ, Ω, Δ_5, καὶ τὸ μὲν Ρ ἂς ἰσορροπῇ πρὸς τὸ τραπέζιον ΔΕ, ὅπως τοῦτο εὑρίσκεται, τὸ δὲ Χ πρὸς τὸ τραπέζιον ΖΣ, τὸ δὲ Ψ πρὸς τὸ ΤΗ, τὸ δὲ Ω πρὸς τὸ ΥΙ, τὸ δὲ Δ_5 πρὸς τὸ τρίγωνον ΓΙΞ· θὰ ἰσορροπήσῃ δὲ καὶ τὸ ἄθροι-

ὅλῳ· ὥστε εἴη ἂν καὶ τὸ ΔΒΓ τρίγωνον τριπλάσιον τοῦ ΡΧΨΩΔ χωρίου. ὁμοίως δὴ τῷ πρότερον δειχθήσεται τό τε ΒΦ τραπέζιον τοῦ Ρ χωρίου μεῖζον, καὶ τὸ μὲν ΘΕ τραπέζιον μεῖζον ἐὸν τοῦ Χ χωρίου, τὸ δὲ ΖΦ ἔλαττον, καὶ τὸ μὲν ΜΗ τραπέζιον μεῖζον ἐὸν τοῦ Ψ χωρίου, τὸ δὲ ΗΘ ἔλασσον, καὶ ἔτι τὸ μὲν ΝΙ



Η 294 *τραπέζιον μεῖζον ἐὸν τοῦ Ω χωρίου, τὸ δὲ ΠΙ ἔλασσον, καὶ τὸ μὲν ΞΙΓ τρίγωνον μεῖζον τοῦ Δ χωρίου, τὸ δὲ ΓΙΟ ἔλασσον· δῆλον οὖν ἐστιν.*

ιϛʹ

Ἔστω πάλιν τμᾶμα τὸ ΒΘΓ περιεχόμενον ὑπὸ εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς, καὶ ἄχθω διὰ μὲν τοῦ Β ἁ ΒΔ παρὰ τὰν διάμετρον, ἀπὸ δὲ τοῦ Γ ἁ ΓΔ ἐπιψαύουσα τᾶς τοῦ κώνου τομᾶς κατὰ τὸ Γ, ἔστω δὲ τοῦ ΒΔΓ τριγώνου τρίτον μέρος τὸ Ζ χωρίον. φαμὶ δὴ τὸ ΒΘΓ τμᾶμα ἴσον εἶμεν τῷ Ζ χωρίῳ.

εἰ γὰρ μή ἐστιν ἴσον, ἤτοι μεῖζόν ἐστιν ἢ ἔλασσον. ἔστω δὴ πρότερον, εἰ δυνατόν, μεῖζον· ἁ δὴ ὑπεροχά, ᾇ ὑπερέχει τὸ ΒΘΓ τμᾶμα τοῦ Ζ χωρίου, συντιθεμένα αὐτὰ ἑαυτᾷ ἐσσεῖται μείζων τοῦ ΒΓΔ τριγώνου. δυνατὸν δέ ἐστι λαβεῖν τι χωρίον ἔλασσον τᾶς ὑπεροχᾶς, ὃ ἐσσεῖται μέρος τοῦ ΒΔΓ τριγώνου. ἔστω δὴ τὸ ΒΓΕ τρίγωνον ἔλασσόν τε τᾶς εἰρημένας ὑπεροχᾶς σμα τῶν μὲν πρὸς τὸ ἄθροισμα τῶν δέ· ὥστε θὰ εἶναι τὸ ΔΒΓ τρίγωνον $= 3\ (\mathrm{P} + \mathrm{X} + \Psi + \Omega + \Delta_5)$, (θ. 7). Καθ' ὅμοιον τρόπον ὡς προηγουμένως ἀποδεικνύεται ὅτι τὸ τραπέζιον ΒΦ $>$ χωρ. Ρ, καὶ τραπ. ΘΕ $>$ Χ $>$ ΖΦ, ΜΗ $>$ Ψ $>$ ΗΘ, ΝΙ $>$ Ω $>$ ΠΙ, ΞΙΓ $>$ $\Delta_5 >$ ΓΙΟ· εἶναι λοιπὸν φανερόν.

16

Ἔστω πάλιν τὸ τμῆμα ΒΘΓ περιεχόμενον ὑπὸ εὐθείας καὶ παραβολῆς, καὶ ἂς ἀχθῇ διὰ μὲν τοῦ Β ἡ ΒΔ παράλληλος πρὸς τὴν διάμετρον, ἀπὸ δὲ τοῦ Γ ἡ ΓΔ ἐφαπτομένη τῆς παραβολῆς κατὰ τὸ Γ, ἔστω δὲ τὸ χωρίον Ζ ἴσον πρὸς τὸ ἓν τρίτον τοῦ τριγώνου ΒΔΓ. Λέγω ὅτι τὸ παραβολικὸν τμῆμα ΒΘΓ εἶναι ἴσον πρὸς τὸ χωρίον Ζ.



Διότι ἐὰν δὲν εἶναι ἴσον θὰ εἶναι μεγαλύτερον ἢ μικρότερον. Ἔστω πρῶτον, εἰ δυνατόν, μεγαλύτερον· ἡ ὑπεροχὴ δέ, καθ' ἣν ὑπερέχει τὸ τμῆμα ΒΘΓ τοῦ χωρίου Ζ, λαμβανομένη πολλὰς φορὰς θὰ εἶναι μεγαλυτέρα τοῦ τριγώνου ΒΓΔ (ἀξίωμα συνεχείας). Εἶναι δὲ δυνατὸν νὰ ληφθῇ χωρίον τι μικρότερον τῆς ὑπεροχῆς, τὸ ὁποῖον νὰ εἶναι μέρος τοῦ τριγώνου ΒΔΓ. Ἔστω λοιπὸν τὸ τρίγωνον ΒΓΕ μικρότερον τῆς εἰρημένης ὑπεροχῆς καὶ μέρος τοῦ τριγώνου ΒΔΓ· θὰ εἶναι δὲ ἡ ΒΕ τὸ αὐτὸ μέρος τῆς ΒΔ (Εὐκλ. VI, 1). Ἂς διαι-

καὶ μέρος τοῦ ΒΔΓ τριγώνου· ἐσσεῖται δὲ τὸ αὐτὸ ἁ ΒΕ μέρος τᾶς ΒΔ. διηρήσθω οὖν ἁ ΒΔ ἐς τὰ μέρεα, καὶ ἔστω τὰ τῶν διαιρεσίων σαμεῖα τὰ Η, Ι, Κ, καὶ ἀπὸ τῶν Η, Ι, Κ σαμείων ἐπὶ τὸ Γ εὐθεῖαι ἐπεζεύχθωσαν· τέμνοντι δὴ αὗται τὰν τοῦ κώνου τομάν, ἐπεὶ ἁ ΓΔ ἐπιψαύουσά ἐντι αὐτᾶς κατὰ τὸ Γ· καὶ διὰ τῶν σαμείων, καθ' ἃ τέμνοντι τὰν τομὰν αἱ εὐθεῖαι,
H 296 ἄχθωσαν παρὰ τὰν διάμετρον αἱ ΜΦ, ΝΡ, ΞΘ, ΠΟ· ἐσσοῦνται δὲ αὗται καὶ παρὰ τὰν ΒΔ. ἐπεὶ οὖν ἔλασσόν ἐστι τὸ ΒΓΕ τρίγωνον τᾶς ὑπεροχᾶς, ᾇ ὑπερέχει τὸ ΒΘΓ τμᾶμα τοῦ Ζ χωρίου, δῆλον, ὡς τὰ συναμφότερα τό τε Ζ χωρίον καὶ τὸ ΒΓΕ τρίγωνον ἐλάσσονά ἐντι τοῦ τμάματος. καὶ τῷ ΒΓΕ τριγώνῳ ἴσα τὰ τραπέζιά ἐντι, δι' ὧν ἁ τοῦ κώνου τομὰ πορεύεται, τὰ ΜΕ, ΦΛ, ΘΡ, ΘΟ, καὶ τὸ ΓΟΣ τρίγωνον· τὸ μὲν γὰρ ΜΕ τραπέζιον κοινόν, τὸ δὲ ΜΛ ἴσον τῷ ΦΛ καὶ τὸ ΛΞ ἴσον τῷ ΘΡ καὶ τὸ ΧΞ ἴσον τῷ ΟΘ καὶ τὸ ΓΧΠ τρίγωνον τῷ ΓΟΣ τριγώνῳ· τὸ δὴ Ζ χωρίον ἔλασσόν ἐστι τῶν τραπεζίων τῶν ΜΛ, ΞΡ, ΠΘ καὶ τοῦ ΠΟΓ τριγώνου. καὶ ἔστι τὸ ΒΔΓ τρίγωνον τριπλάσιον τοῦ Ζ χωρίου· τὸ δὴ ΒΔΓ ἔλασσόν ἐστιν ἢ τριπλάσιον τῶν ΜΛ, ΡΞ, ΘΠ τραπεζίων καὶ τοῦ ΠΟΓ τριγώνου· ὅπερ ἀδύνατον· ἐδείχθη γὰρ μεῖζον ἐὸν ἢ τριπλάσιον. οὐκοῦν οὐ μεῖζόν ἐστι τὸ ΒΘΓ τμᾶμα τοῦ Ζ χωρίου.

λέγω δή, ὅτι οὐδὲ ἔλασσον. ἔστω γάρ, εἰ δυνατόν, ἔλασσον. πάλιν ἄρα ἁ ὑπεροχά, ᾇ ὑπερέχει τὸ Ζ χωρίον τοῦ ΒΘΓ τμάματος, αὐτὰ ἑαυτᾷ συντιθεμένα ὑπερέχει καὶ τοῦ ΒΔΓ τριγώνου. δυνατὸν δέ ἐστι λαβεῖν χωρίον ἔλασσον τᾶς ὑπεροχᾶς, ὃ ἐσσεῖται μέρος τοῦ ΒΔΓ τριγώνου. ἔστω οὖν τὸ ΒΓΕ τρίγωνον ἔλασσον τᾶς ὑπεροχᾶς καὶ μέρος τοῦ ΒΔΓ τριγώνου, καὶ τὰ ἄλλα τὰ αὐτὰ κατεσκευάσθω. ἐπεὶ οὖν ἐστι τὸ ΒΓΕ τρίγωνον ἔλασσον τᾶς ὑπεροχᾶς, ᾇ ὑπερέχει τὸ Ζ χωρίον τοῦ ΒΘΓ
H 298 τμάματος, τὸ ΒΕΓ τρίγωνον καὶ τὸ ΒΘΓ τμᾶμα ἀμφότερα

ρεθῇ λοιπὸν ἡ ΒΔ εἰς μέρη, καὶ ἔστω τὰ σημεῖα τῶν διαιρέσεων τὰ Η, Ι, Κ, καὶ ἀπὸ τῶν σημείων Η, Ι, Κ ἂς ἀχθῶσιν εὐθεῖαι πρὸς τὸ Γ· θὰ τέμνωσι λοιπὸν αὗται τὴν παραβολήν, ἐπειδὴ ἡ ΓΔ εἶναι ἐφαπτομένη αὐτῆς κατὰ τὸ Γ· καὶ διὰ τῶν σημείων, καθ' ἃ τέμνουσι τὴν τομὴν (παραβολὴν) αἱ εὐθεῖαι, ἂς ἀχθῶσι παράλληλοι πρὸς τὴν διάμετρον αἱ ΜΦ, ΝΡ, ΞΘ, ΠΟ· θὰ εἶναι δὲ αὗται καὶ παράλληλοι πρὸς τὴν ΒΔ. Ἐπειδὴ λοιπὸν τὸ τρίγωνον ΒΓΕ εἶναι μικρότερον τῆς ὑπεροχῆς καθ' ἣν ὑπερέχει τὸ τμῆμα ΒΘΓ τοῦ χωρίου Ζ, εἶναι φανερόν, ὅτι τὸ ἄθροισμα τοῦ χωρίου Ζ καὶ τοῦ τριγώνου ΒΓΕ θὰ εἶναι μικρότερον τοῦ τμήματος. Καὶ πρὸς τὸ τρίγωνον ΒΓΕ εἶναι ἴσα τὰ τραπέζια διὰ τῶν ὁποίων διέρχεται ἡ παραβολή, τὰ ΜΕ, ΦΛ, ΘΡ, ΘΟ, καὶ τὸ τρίγωνον ΓΟΣ· διότι τὸ μὲν τραπέζιον ΜΕ εἶναι κοινόν, τὸ δὲ ΜΛ = ΦΛ καὶ τὸ ΛΞ = ΘΡ καὶ τὸ ΧΞ = ΟΘ καὶ τὸ τρίγωνον ΓΧΠ = τρίγωνον ΓΟΣ· τὸ χωρίον λοιπὸν Ζ εἶναι μικρότερον τοῦ ἀθροίσματος τῶν τραπεζίων ΜΛ, ΞΡ, ΠΘ καὶ τοῦ τριγώνου ΠΟΓ. Καὶ εἶναι τὸ τρίγωνον ΒΔΓ τριπλάσιον τοῦ χωρίου Ζ· τὸ δὲ ΒΔΓ εἶναι μικρότερον τοῦ τριπλασίου ἀθροίσματος τῶν τραπεζίων ΜΛ, ΡΞ, ΘΠ καὶ τοῦ τριγώνου ΠΟΓ· ὅπερ ἀδύνατον· διότι ἐδείχθη ὅτι εἶναι μεγαλύτερον τοῦ τριπλασίου. Δὲν εἶναι λοιπὸν μεγαλύτερον τὸ τμῆμα ΒΘΓ τοῦ χωρίου Ζ.

Λέγω τώρα, ὅτι δὲν εἶναι οὔτε μικρότερον. Διότι ἔστω, εἰ δυνατόν, ὅτι εἶναι μικρότερον. Πάλιν ἄρα ἡ ὑπεροχή, καθ' ἣν ὑπερέχει τὸ χωρίον Ζ τοῦ τμήματος ΒΘΓ, λαμβανομένη πολλάκις ὑπερέχει τοῦ τριγώνου ΒΔΓ. Εἶναι δὲ δυνατὸν νὰ ληφθῇ χωρίον μικρότερον τῆς ὑπεροχῆς, τὸ ὁποῖον νὰ εἶναι μέρος τοῦ τριγώνου ΒΔΓ. Ἔστω λοιπὸν τὸ τρίγωνον ΒΓΕ μικρότερον τῆς ὑπεροχῆς καὶ μέρος τοῦ τριγώνου ΒΔΓ, καὶ τὰ ἄλλα ἂς κατασκευασθῶσιν ὡς προηγουμένως. Ἐπειδὴ λοιπὸν τὸ τρίγωνον ΒΓΕ εἶναι μικρότερον τῆς ὑπεροχῆς, καθ' ἣν ὑπερέχει τὸ χωρίον Ζ τοῦ τμήματος ΒΘΓ, τὸ τρίγωνον ΒΕΓ ἐλάσσονά ἐστι τοῦ Ζ. ἔστιν δὲ καὶ τὸ Ζ χωρίον ἔλασσον τῶν τετραπλεύρων τῶν ΕΜ, ΦΝ, ΨΞ, ΠΤ καὶ τοῦ ΓΠΣ τριγώνου· ἔστιν γὰρ τὸ ΒΔΓ τοῦ μὲν Ζ τριπλάσιον, τῶν δὲ εἰρημένων χωρίων ἔλασσον ἢ τριπλάσιον, ὡς ἐν τῷ πρὸ τούτου ἐδείχθη· ἔλασσον ἄρα τὸ ΒΓΕ τρίγωνον καὶ τὸ ΒΘΓ τμᾶμα τῶν τετραπλεύρων τῶν ΕΜ, ΦΝ, ΞΨ, ΠΤ καὶ τοῦ ΓΠΣ τριγώνου. ὥστε κοινοῦ ἀφαιρεθέντος τοῦ τμάματος ἔλασσον εἴη κα καὶ τὸ ΓΒΕ τρίγωνον τῶν περιλειπομένων χωρίων· ὅπερ ἐστὶν ἀδύνατον· ἐδείχθη γὰρ ἴσον ἐὸν τὸ ΒΕΓ τρίγωνον τοῖς τραπεζίοις τοῖς ΕΜ, ΦΛ, ΘΡ, ΘΟ καὶ τῷ ΓΟΣ τριγώνῳ, ἅ ἐντι μείζονα τῶν περιλειπομένων χωρίων. οὐκ ἄρα ἔλασσον τὸ ΒΘΓ τμᾶμα τοῦ Ζ χωρίου. ἐδείχθη δέ, ὅτι οὐδὲ μεῖζον· ἴσον ἄρα τὸ τμᾶμα τῷ Ζ χωρίῳ.

ιζʹ

Τούτου δεδειγμένου φανερόν, ὅτι πᾶν τμᾶμα περιεχόμενον ὑπὸ εὐθείας τε καὶ ὀρθογωνίου κώνου τομᾶς ἐπίτριτόν ἐστι τοῦ τριγώνου τοῦ ἔχοντος βάσιν τὰν αὐτὰν τῷ τμάματι καὶ ὕψος ἴσον.

ἔστω γὰρ τμᾶμα περιεχόμενον ὑπὸ εὐθείας τε καὶ ὀρθογωνίου κώνου τομᾶς, κορυφὰ δὲ αὐτοῦ ἔστω τὸ Θ σαμεῖον, καὶ ἐγγεγράφθω εἰς αὐτὸ τρίγωνον τὸ ΒΘΓ τὰν αὐτὰν βάσιν ἔχον τῷ τμάματι καὶ ὕψος ἴσον. ἐπεὶ οὖν τὸ Θ σαμεῖον κορυφά ἐστι τοῦ τμάματος, ἁ ἀπὸ τοῦ Θ εὐθεῖα παρὰ τὰν διάμετρον ἀχθεῖσα δίχα τέμνει τὰν ΒΓ, καὶ ἁ ΒΓ ἐστι παρὰ τὰν ἐπιψαύουσαν
H 300 τᾶς τομᾶς κατὰ τὸ Θ. ἄχθω δὲ ἁ ΕΘ παρὰ τὰν διάμετρον, ἄχθω δὲ καὶ ἀπὸ τοῦ Β παρὰ τὰν διάμετρον ἁ ΒΔ, ἀπὸ δὲ τοῦ Γ ἁ ΓΔ ἐπιψαύουσα τᾶς τοῦ κώνου τομᾶς κατὰ τὸ Γ. ἐπεὶ οὖν ἁ μὲν ΚΘ παρὰ τὰν διάμετρόν ἐστιν, ἁ δὲ ΓΔ ἐπιψαύουσα τᾶς τομᾶς κατὰ τὸ Γ, ἁ δὲ ΕΓ παράλληλός ἐστι τᾷ ἐπιψαυούσᾳ

σὺν τὸ τμῆμα ΒΘΓ εἶναι μικροτέρα τοῦ Ζ. Εἶναι δὲ καὶ τὸ χωρίον Ζ μικρότερον τοῦ ἀθροίσματος, τῶν τετραπλεύρων ΕΜ, ΦΝ, ΨΞ, ΠΤ, σὺν τὸ τρίγωνον ΓΠΣ· διότι τὸ ΒΔΓ εἶναι τοῦ μὲν Ζ τριπλάσιον, τῶν δὲ εἰρημένων χωρίων μικρότερον τοῦ τριπλασίου αὐτῶν, ὡς ἐδείχθη εἰς τὸ προηγούμενον θεώρημα· εἶναι ἄρα τὸ τρίγωνον ΒΓΕ σὺν τὸ τμῆμα ΒΘΓ μικρότερα τῶν τετραπλεύρων ΕΜ, ΦΝ, ΞΨ, ΠΤ, σὺν τὸ τρίγωνον ΓΠΣ. Ὥστε ἂν ἀφαιρεθῇ τὸ τμῆμα, τὸ ὁποῖον εἶναι κοινὸν καὶ εἰς τὰ δύο ἀθροίσματα, θὰ εἶναι τὸ τρίγωνον ΓΒΕ μικρότερον τῶν ἀπομενόντων χωρίων· ὅπερ εἶναι ἀδύνατον· διότι ἐδείχθη ὅτι τὸ τρίγωνον ΒΕΓ εἶναι ἴσον πρὸς τὸ ἄθροισμα τῶν τραπεζίων ΕΜ, ΦΛ, ΘΡ, ΘΟ σὺν τὸ τρίγωνον ΓΟΣ, τὰ ὁποῖα εἶναι μεγαλύτερα τῶν ἀπομενόντων χωρίων. Δὲν εἶναι ἄρα μικρότερον τὸ τμῆμα ΒΘΓ τοῦ χωρίου Ζ. Ἐδείχθη δὲ ὅτι οὔτε μεγαλύτερον εἶναι· εἶναι ἄρα τὸ τμῆμα ἴσον πρὸς τὸ χωρίον Ζ.

17

Τούτου ἀποδειχθέντος εἶναι φανερόν, ὅτι πᾶν τμῆμα περιεχόμενον ὑπὸ εὐθείας καὶ παραβολῆς εἶναι τὰ τέσσαρα τρίτα τοῦ τριγώνου τοῦ ἔχοντος βάσιν τὴν αὐτὴν πρὸς τὸ τμῆμα καὶ ὕψος ἴσον.

